Π. ΚΑΛΛΙΒΟΥΡΣΟΥ,

ΙΑΤΡΟΥ,

ΝΗΣΙΩΤΙΚΑ ΕΠΗ.

LEIPZIG:
F. A. BROCKHAUS.
1876.

Π. ΚΑΛΛΙΒΟΥΡΣΟΥ,

ΙΑΤΡΟΥ,

ΝΗΣΙΩΤΙΚΑ ΕΠΗ.

Τὴν ἐθνικὴν ἐὰν μολπὴν τῆς υἱϊκῆς σου Μούσης
ἡδέως, ποθητὴ Πατρίς, καὶ εὐμενῶς ἀκούσῃς,
εὐδαιμονία τοῦτο μοι, ἣν οὐδεμία ἄλλη
τῶν ἐν τῷ βίῳ ἐφετῶν, εὐκταίων ὑπερβάλλει.

Σοί, σεβαστὴ γενέτειρα, σοί, Νάξος, χάριν οἶδα
τοῦ τὴν Ἑλλάδα ἔνδοξον, μεγάλην σχεῖν πατρίδα,
ὡς ὁ περιφανοῦς μητρὸς υἱὸς τῇ γειναμένῃ
ὀφείλει τὸ τῷ εὐγενεῖ προσήκειν αὐτῆς γένει.
Σὲ τοίνυν ᾄδει ἐν στοργῇ ἡ Μοῦσα μου, σὸς γόνος,
καὶ ταῦτα προσκομίζει σοι τὰ ἔπη εὐγνωμόνως.
Ἐπανορῶν σε ἀνηβῶ, Πατρὶς ποθημένη·
τὸ θάλπος σου δροσίζει με, τὸ ψύχος σου θερμαίνει·
νομίζω, τὸν ἀέρα σου τὸν πάτριον εἰσπνέων,
ὅτι στοιχεῖον ζωτικὸν ἐμπεριέχει νέον,
ζῳογονοῦν, ἀνανεοῦν, εὐφραῖνον με, πραΰνον
τὴν δριμυτάτην ἐν ἐμοὶ τῶν ψυχικῶν ὀδύνων.

Τὸ ὀξυγόνον τῆς ψυχῆς τὸ ἐν τῷ σῷ ἀέρι
ἀδυνατοῦσιν ἀνευρεῖν οἱ Λαβοϊσιέροι.
Χωριζομένου ἀπὸ σοῦ, ὦ νῆσος μου φιλτάτη,
τοσοῦτον ἄλγος τὴν οἰκτρὰν καρδίαν μου διάττει,
ὡς εἰ ἁπάσας εἰς αὐτὴν συγχρόνως σὺ ἐμπείρεις
ὅσας ἠκόνησέ ποτε μαχαίρας ἡ σὴ σμύρις (α.').
Ὅτε με ἀποπλεῦσαι σου ἀντίπνους ἐτησίας
ἐκώλυεν, ἐνόμιζα σὺ ὅτι με οὐκ εἴας
μακράν σου ἀπελθεῖν, καθὼς τὸν ἐραστὴν παρθένος,
ὅτι μακράν σου ἔσομαι καὶ ἐν τῇ ξένῃ ξένος,
ὡς εἰ ἐγίνωσκες καὶ σὺ πικρίαι πόσαι, φίλη
Πατρίς, τοῦ ἐν τῇ ξένῃ γῇ πικραίνουσι τὰ χείλη·
ἡ εὐοσμία τῶν ἀνθῶν τὸν ξένον οὐκ εὐφραίνει
ὡς ἐν τῇ προςφιλεῖ αὐτοῦ πατρίδι ἐν τῇ ξένῃ·
ἐν πάσῃ δέσμῃ, δι' αὐτὸν, ἰάσμων, ῥόδων, ἴων
καὶ ἀναγύρου κάκοσμον ἐνεῖρται ἓν κλονίον,
τοῦ πόθου τῆς πατρίου γῆς ἡ ἄχαρις βοτάνη,
ἣν δάκρυ ἄρδει, στεναγμῶν ἥτις πνοαῖς αὐξάνει.
Τὸν ξένον οὐδ' ἡ εὔχυμος ὀπώρα πλέον ἥδει
ὡς ἐν τῇ προςφιλεῖ αὐτοῦ καὶ ποθεινῇ πατρίδι·
τὸν μελιχρὸν αὐτῆς χυμὸν ὁ πόθος τῆς πατρίου
πικραίνει γῆς, πευκεδανοῦ πικρότερος νηρίου,
καὶ τὸ ἡδὺ αὐτοῦ ποτὸν πικραίνει τῶν σταγόνων
ἐὰν τοῦ δάκρυος αὐτοῦ ἐμπέσῃ μία μόνον.
Οὐδ' ἄγει ἑορτὴν φαιδρὰν ὁ ξένος γηθοσύνως,
ἀλλ' ἐν αἷς πάντες χαίρουσι βαρυθυμεῖ ἐκεῖνος,
μόνας δὲ ἄγει ἑορτὰς δεόντως τὰς ἡμέρας,
ἐν αἷς τοὺς ἥλους ἔλαβεν ἡ Ἀγαθότης γέρας,
οὐ μόνον τὸν σταυρούμενον Σωτῆρα πικρῶς κλαίων,
ἀλλὰ καὶ τὴν οἰκτρὰν αὐτοῦ ξενίαν πολλῷ πλέον.

Ἄκλαυστος, ἀσαβάνωτος, ἄνευ λιβάνου μένει,
δυςείμων, ἀνευτρέπιστος ὁ θνήσκων ἐν τῇ ξένῃ,
οὐδὲ τὰ πόθου δάκρυσιν εἰςέτι βεβρεγμένα
βλέφαρ' αὐτοῦ ὁμαίμονα συγκλεῖσαι ἔχει ἕνα,
ἀλλὰ οἱ ὀφθαλμοὶ αὐτοῦ ἡμιηνεῳγμένοι,
καὶ, δεινὴν φρίκην ἐμποιοῦν, τὸ βλέμμ' ἀτενὲς μένει,
ὡς εἰ ἐζήτει καὶ νεκρὸς ἰδεῖν μορφὴν φιλτάτην
γονέως, τέκνου, ἀδελφοῦ, συζύγου, αλλ' εἰς μάτην.
Ἐπίγραμμα τὰ μνήματα τὰ θλιβερὰ τῶν ξένων
φέρουσι τὸ ἀκόσμητον, οἰκτρῶς ἠμελημένον,
τοὺς παριόντας συγκινοῦν καὶ λέγον „Παροδῖται,
„ξένος, πατρίδος, συγγενῶν μακρὰν, ἐνταῦθα κεῖται."
Οὐδεὶς ἐφίστησιν αὐτοῖς, τοὐλάχιστον, τὸ θεῖον,
τὴν τῶν νεκρῶν ἐξέγερσιν προμνώμενον σημεῖον·
σταυρὸν δὲ ἐν τῷ μνήματι ὁ ξένος ἔχει μόνον
τὰ χιαστὶ ἐπάλληλα ὀστᾶ τῶν βραχιόνων,
καὶ κόσμον τοῦ οἰκτροῦ αὐτοῦ μνημείου ἐν τῷ ἦρι
ὃ ἂν ἡ Τύχη ἄγριον φυτὸν ἐξ οἴκτου σπείρῃ.

Τόση μου ἡ πρὸς σὲ στοργὴ, ἀγαπητή μοι νῆσος,
ὥστε καὶ τῆς μητρὸς αὐτῆς σὲ μᾶλλον στέργω ἴσως,
καὶ τῆς πρὸς σὲ ἀγάπης μου τεκμήρια ἰδού σοι,
ἃ πλάσματα ἡγήσεται, Πατρὶς, ὃς ἂν ἀκούσῃ·
πλέουσαν παῖς νῆα πρὸς σὲ ἰδὼν, ἡμιολίαν
πειρατικὴν ἐνόμισα, πεφοβισμένος λίαν·
τὸ ὄμμα μου δακρυῤῥοοῦν ἠρεύνα ἐπισείων
μὴ αἱματόχρους τουρκικὸς ἐπὶ τῶν καρχησίων,
καὶ ἔτρεμον μὴ ἐπὶ σὲ τὴν ἄοπλον παρθένον
ὁρμᾷ τὸ πλήρωμα αὐτῆς, θρασὺ, ἠγριωμένον,

ἵνα τελέσῃ φόνια ἐν τοῖς ναοῖς σου ἄγη·
καὶ τὰς ἁβρὰς παρθένους σου δεσμίους ἀπαγάγῃ.
Τὴν Παναγίαν σῶσαι σε ἱκέτευον, δακρύων,
πρὸ τῆς σεπτῆς ἅψας αὐτῆς εἰκόνος ἓν κηρίον.
Παιδίον δ', ἄλλοτε, ὁρῶν, περιδεὲς καὶ τρέμον,
τὴν τῆς θαλάσσης φοβερὰν ὀργὴν καὶ τῶν ἀνέμων,
καὶ τὸ Αἰγαῖον ἄγριον ἀνηλεῶς σε δαῖρον
διὰ κυμάτων , ὦ Πατρὶς, ἀεὶ ἀγριωτέρων,
ἀνέκραξα „Τὴν προςφιλῆ Πατρίδα μου τὶ πλήσσεις,
„κακὴ, ἀγρία Θάλασσα, μετὰ τοσαύτης λύσσης;"
καλάμινον δ' εἶτα σταυρὸν ποιήσας, τῇ θαλάσσῃ
ἐνῆκα, ἵνα ἡ φρικτὴ αὐτῆς ὀργὴ κοπάσῃ.
Τὴν ἑνιαίαν μου πρὸς σὲ ἀγάπην οὐδ' ἐκεῖναι
αἱ φρικαλέαι ἴσχυσαν, Πατρὶς, σκηναὶ σμικρῦναι,
ἐν αἷς τὸ τέκνον μου ἑπτὰ ἡμέρας, πικρῶς κλαίων,
μετ' ἐξαισίου ὄφεως προςέβλεπον παλαῖον (β.'),
ὃς περὶ τὸν λαιμὸν αὐτοῦ τὰς ἕλικας σπειράσας,
ἀπῆγξε καὶ τὰς πατρικὰς ἐλπίδας μου ἁπάσας,
ὡς μέλος δ' ἐπικήδειον τὸ διὰ πάντα ἄλλον
Χριστιανὸν χαρμόσυνον „Χριστὸς ἀνέστη" ψάλλων,
προέπεμπέ μοι εἰς τὴν σὴν ἀγκάλην, δακρυχέων,
τὸ ὀρφανόν μου ὁ χορὸς πενθούντων ἱερέων.
Παιδίον ἐπὶ τῆς χρυσῆς μιᾶς ἀκτῆς σου ἄμμου
τῆς ἀλφαβήτου ἔγραψα τὸ πρῶτον μάθημά μου.
Σὺ κάτοπτρον προςέσχες μοι νηπίῳ ἔτι, ὅπου
ἐνεῖδον τὴν μορφὴν ἐγὼ τὸ πρῶτον τοῦ προςώπου,
τὸ διαυγὲς ὑδάτιον ἑνὸς τῶν ἠρεμαίων
ῥυάκων σου, ὑπ' εὐανθῆ, εὐώδη δένδρα ῥέον,
οὗ ὁ ἡδὺς κελαρυσμὸς (ἐνδελεχὴς τοῦ θείου
ἐκείνου ἐπανάληψις τοῦ Ἰησοῦ λογίου)

„Πρός με, ἀείῤῥοον πηγὴν, πᾶς ὁ διψῶν ἐλθέτω
„καὶ τοῦ ψυχροῦ μου ὕδατος καὶ διειδοῦς πιέτω.“
Τοσοῦτον δ' ἡ ἀνάμνησις ἀγαπητή μοι ὅτι
ἐν σοί μου ἡ κατόπτρισις ἐγένετο ἡ πρώτη,
ὥστε ἐν θλίψει βλέπω σε τὰ ὕδατά σου χέον,
ῥυάκιον ἐρατεινὸν, εἰς τὸ βαθὺ Αἰγαῖον,
ὡς εἰ καὶ σοῦ τὸ νᾶμα ἦν ἓν τῶν ἡδυπνουστάτων,
ἐν φιαλίοις τορευτοῖς μυρεψικῶν σταγμάτων,
ὧν ἕκαστον γαλατικῶν δραχμῶν πιπράσκει δέκα
πρὸς πᾶσαν ὁ Παρισινὸς φιλάρεσκον γυναῖκα.
Ἡ πρὸς ἐμὲ διακαὴς Στοργὴ βιοῖ ἐν εἴδει
σεπτῆς πρεσβύτιδος ἐν σοὶ, τῇ φίλῃ μοι πατρίδι.
Νεᾶνις με παντὶ αὐτῆς κρατύνασα τῷ σθένει,
νῦν ἄτονος, ἐπίνοσος αὐτὴ πρεσβῦτις μένει.
Ποσάκις, μῆτερ ποθεινὴ, ἐπέσχες μοι παιδίῳ
ἁγιασμὸν ἐν ἀργυρῷ κυπέλλῳ ἵνα πίω,
μετὰ τοῦ θείου πόματος ποτίζουσά με ἅμα
τῶν ἠθικῶν σου συμβουλῶν τὸ ψυχοτρόφον νᾶμα!
καὶ ἔλεγες, διδοῦσα μοι, ὦ εὐσεβόφρων γύναι,
τῆς Θεοτόκου τὴν σεπτὴν εἰκόνα ἀσπασθῆναι·
„Ὅταν ψυχράνῃ τὴν ἐμὴν ὁ Θάνατος ἀγκάλην,
„τὴν Παναγίαν, τέκνον μου, μητέρα ἕξεις ἄλλην·
„ἐκείνη ἀσθενοῦντα σε ἰάσετ', ἐπιῤῥώσει,
„καὶ ἔσται ἐν ταῖς θλίψεσιν ἀεὶ παρήγορός σοι.
„Σκέπη σου ἔσται ἡ αἰγὶς ἡ κραταιὰ ἐκείνης,
„φυλάττουσά σε ἀβλαβῆ ἐν πᾶσι τοῖς κινδύνοις.“
Ὁπόταν εἰς τὰ ξένα μοι καλλίστην ἀποστείλῃ
ὀπώραν σου ἡ μητρικὴ Στοργὴ, Πατρίς μου φίλη,
τὰς ἁρμοζούσας τῶν καρπῶν ἑκάστοτε τῷ εἴδει
συνεπιστέλλει μοι εὐχὰς ἐν μητρικῇ φροντίδι·

εἰ τὸ ἐπίσταλμα κανοῦν, ὅπερ ῥοιῶν σου γέμει,
ἔτη ὅσοι οἱ κόκκωνες βιῶναι εὔχεταί μοι,
δἰ ὑπερβάλλουσαν στοργὴν ἐπιλανθανομένη,
ὅτι τὸ μόρσιμον θνητὸς μεταβαλεῖν οὐ σθένει·
εἰ πάλιν μήλων τὸ κανοῦν ἐρευθαλέων γέμει,
διηνεκῆ τῶν παρειῶν εὔχροιαν εὔχεταί μοι,
δἰ ὑπερβάλλουσαν στοργὴν ἐπιλανθανομένη,
ὅτι τοὺς πάντας ἀπηνῶς ὁ Θάνατος ὠχραίνει.
Δύο σεπτοὺς σέβω, Πατρίς, τάφους σχεδὸν ἐξ ἴσου,
τὸν μὲν ἐν Ἱερουσαλὴμ, τὸν ἄλλον ἐν τῇ γῇ σου,
τιμᾷν γὰρ ἀμφοτέρους με προςτάσσουσιν ἐπίσης,
τὸν μὲν ὁ Χριστιανισμὸς, τὸν ἕτερον ἡ Φύσις·
οὗτος τὸ τοῦ γεννήτορος σεπτὸν ἐδέχθη σκῆνος,
τὸ τοῦ ἀναγεννήσαντος ἐν πνεύματι ἐκεῖνος.
Τὰς σὰς σὺ, πάτερ, ἠθικὰς, εὐβούλους ὑποθήκας
ὡς ναυτικὴν πυξίδα μοι καθοδηγὸν ἀφῆκας,
ἥτις εἰς τὸν ποθούμενον λιμέν' ἀσφαλῶς ἄγει
τὸν ἐν τοῦ βίου πλέοντα τῷ φοβερῷ πελάγει.
Τοιάδε με ἡ σὴ Στοργὴ πολλάκις ἐνουθέτει,
ἃ ἐν τῇ μνήμῃ ἔναυλα, εὐγνώμων, τηρῶ ἔτι·
„Ὡς δύο ἡ ἀτμήλατος ἔχει ὁδὸς, ὁμοίως
„δύο ἐχέτω τροχιὰς ὁ ἠθικός σου βίος,
„τὸν τῆς Πατρίδος ἔρωτα τὸν ἀκραιφνῆ τὴν μίαν,
„τὴν δὲ ἑτέραν σεβασμὸν βαθὺν πρὸς τὴν θρησκείαν,
„τὰς μόνας πρὸς τὸν ἠθικὸν πρὸς ὃν ἀγούσας ὅρον
„εὐδαίμονα τὸν ἔμφρονα τοῦ βίου ὁδοιπόρον.
„Τῶν δύο μὴ ἀπέκκλινον κανόνων τούτων, ἵνα
„μὴ πάθῃς τὰ παθήματα τὰ φοβερὰ ἐκεῖνα,
„ἃ πάσχει ὁ διφρηλατῶν τῇ τοῦ ἀτμοῦ δυνάμει,
„ἐὰν τῶν σιδηρῶν ὁλκῶν τὸ ἅρμ' αὐτοῦ ἐκδράμῃ.

„Παρέχειν τῆς Ἰατρικῆς συνυποτίθεμαί σοι
„προθύμως τὴν ἀντίληψιν ἀεὶ τοῖς ἐνδεέσι,
„τὸ τοῦ πτωχοῦ ἀῤῥώστου σου „εὐχαριστῶ“ νομίζων
„δουκάτον ἀναφαίρετον, παντὸς φλωρίου μεῖζον.
„Ὡς ἡ φρικώδης ἔχιδνα, τὸν θεῖον Παῦλον ἥτις
„ἐν τῇ ἀξένῳ ἔδακε ῥηγμῖνι τῆς Μελίτης (γ.΄),
„οὐδοτιοῦν εἰργάσατο τῷ Ἀποστόλῳ σῖνος,
„ἀλλ' ἀβλαβὴς εἰς πῦρ αὐτὴν ἐνέῤῥιψεν ἐκεῖνος,
„οὕτως ἐὰν τὴν Ἀρετὴν ὁ τῆς συκοφαντίας
„δάκῃ φαρμακωδέστατος σήψ, ἔχις, ἀκοντίας,
„ἐκείνη μένει ἀβλαβής, καίεται δὲ ὁ δράκων
„ὑπὸ τοῦ μεταμέλου ὡς ὑπὸ πυρὸς ἀνθράκων.
„Ὡς ὅτε δὲ τὴν δεξιὰν ὁ θεῖος Παῦλος ἦρε,
„τοῦ ἔχεως ἐν ᾧ αὐτὴν συνέσφιγγον αἱ σπεῖραι,
„φονεὺς ὁ μάκαρ ἔδοξε, θεόργιστος, προώλης,
„τῷ ἔχεϊ περιπεσὼν, σωθεὶς τοῦ πνιγμοῦ μόλις,
„εἰς δὲ τὰς φλόγας ἀβλαβὴς βαλὼν τὸν δεινὸν ἔχιν,
„θεὸς, θαυμάτων δύναμιν ἔδοξε θείαν ἔχειν,
„οὕτως ὁ ἔργα ἀγαθὰ καὶ φίλα Θεῷ πράττων,
„ἂν, τῶν τοῦ φθόνου φοβερῶν διασωθεὶς κυμάτων,
„ἐμπέσῃ τῇ ἐνύδρει συκοφαντίᾳ (ἥτις
„χεῖρον δάκνει ἢ ἔχιδνα, σκορπίος, ἀμμοδύτης)
„καὶ φέρῃ ἔτι δάκνοντα τὸν ἰοβόλον θῆρα
„περὶ τὴν εὐεργέτιδα αὐτοῦ, ἀθῶαν χεῖρα,
„νομίζει τὸ σεβόμενον πλῆθος τὸν ἄνδρα τέως,
„ὅτι θανάτου ἔνοχος καὶ ἀπαγχονιστέος·
„ἀλλ' ὅταν τὸ ὀφείδιον αὐτὸς τὸ φρικαλέον
„εἰς τὸ τοῦ μεταμέλου πῦρ ἐνρίψῃ, πολλῷ πλέον
„τιμᾶται ὡς ἐνάρετος ἢ πρὶν παρὰ τῷ πλήθει,
„χαίροντι ὅτι ὁ δακὼν ὄφις εἰς πῦρ ἐβλήθη.“

Ὅσον ἐμὲ τὰ πάθη σου, ἀγαπητή μοι νῆσος,
οὐ θλίβουσι τὰ τοῦ Χριστοῦ τὸν λάτριν αὐτοῦ ἴσως,
καὶ ἐκ τῶν καθ' Ἡρόδοτον ἱστορικῶν βιβλίων
ἐμὲ τὰ περὶ τῶν παθῶν τῶν σῶν λυποῦσι πλεῖον,
ἢ αἱ σελίδες ὀπαδὸν τοῦ Ναζωραίου, ὅπου
τὰ περὶ τῆς ὀδυνηρᾶς ποινῆς τοῦ Θεανθρώπου
καὶ τῆς ἐκψύξεως αὐτοῦ ἐν φοβεραῖς βασάνοις
Ματθαῖος, Μάρκος ἔγραψαν, Λουκᾶς καὶ Ἰωάννης.
Τὰ δάκρυά μου ἔβρεξαν πολλάκις τὰ χωρία,
ἐν οἷς ἡ Ἡροδότειος μυθεῖται ἱστορία
περὶ τῆς σῆς σταυρώσεως, ἐν ᾗ, Πατρίς μου φίλη,
τὸ πῦρ, τὸ ξίφος, τὰ δεσμὰ οἱ τοῦ σταυροῦ σου ἧλοι.
Πᾶν παλαιόν σου μάρμαρον, ἐπὶ τοσούτους μένον,
Πατρίς, αἰῶνας ἐν τῷ σῷ ἐδάφει τεθαμμένον,
ἐκθάπτω ὥςπερ σεβαστοῦ γεννήτορος ὀστέον,
μετ' εὐλαβείας υἱϊκῆς βαθείας ἀσπαστέον.
Εὑρίσκων δὲ ἐπιγραφὴν ἐν λίθῳ σου ἀρχαίῳ,
χαρᾶς ἐπὶ τῇ ποθητῇ εὑρέσει δάκρυ χέω,
διευκρινῶν ὡς γράμματα, ἃ ἂν ἡμῖν χεὶρ φίλη,
πολυετῶς ἀπόδημος, μακρόθεν ἐπιστείλῃ,
καὶ ὡς τὰ γράμματα υἱὸς πατρὸς πλουσίου πένης
τῆς διαθήκης τοῦ πατρὸς, ἀέλπτως εὑρημένης (δ.')
Ἓν ἄγαλμά σου θραύοντας ἀγρότας ὅτε εἶδον,
βαρβάρως, διὰ βαρειῶν, Πατρίς μου, λατομίδων,
τοσοῦτον ἐνεποίουν μοι ἄλγος δεινὸν οἱ κτύποι,
ὡς τοὺς κροτάφους ἡ τυπὰς εἰ τοὺς ἐμοὺς ἐκτύπει
Ὡς ἀμαθὴς καλόγηρος, τὴν Ἰλιάδα ξύων
ἐκ τῆς διφθέρας, θαύματα ἀνέγραφεν Ὁσίων,
νῦν δ' ὁ φιλολογῶν Σοφὸς μοχθεῖ συντόνως ἵνα
τὰ γράμματ' αὖθις ἀναγνῶ τἀρχέτυπα ἐκεῖνα,

οὕτως ἐν βαρβαρότητι κατέστρεψεν ὁμοίᾳ
ὁ Χριστιανισμὸς τὰ σὰ ἑλληνικὰ μνημεῖα,
ἐν δὲ τῷ τόπῳ, ἔνθα ἦν ἕκαστον τούτων, μίαν
εὐτελεστάτην ἤγειρεν Ἁγίου ἐκκλησίαν·
ἐγὼ δὲ, τὴν παλίμψηστον περγαμινὴν μεθ' ὅσου
ὁ φιλολόγος, ἐρευνῶ πόθου τὸ ἔδαφός σου
καὶ ἀναγνῶναι ἐν αὐτῷ πειρῶμαι παντὶ σθένει
τὴν πάλαι ἱστορίαν σου, Πατρὶς πεποθημένη.
Ποῦ τὸ σεπτόν σου Δήλιον, ἐν ᾧ ἡ Πολυκρίτη (ε.')
ἀντάλλαγμα τῆς καλλονῆς τὴν λύτρωσίν σου ᾔτει
παρὰ τοῦ ἐμπαθῶς αὐτῆς ἐρῶντος Διογνήτου
ἀπὸ τοῦ ἐρημοῦντος σε πολέμου τῆς Μιλήτου,
καὶ ἔνθα ὁ Διόγνητος, ποινὴν δικαίαν τίων
τῆς ἀσεβείας, λογχευθεὶς, κατέλυσε τὸν βίον;
Ἡ πύλη δὲ ποῦ ἔκειτο τοῦ ἄστεός σου, ἥ τις
τὴν ἐν θριάμβῳ εἴσοδον ἔσχε τῆς Πολυκρίτης;
ἐκεῖ τὴν σώτειραν αὐτοῦ παρθένον ὁ σὸς δῆμος
εὐγνώμων ὑπεδέξατο θεαίνῃ ἰσοτίμως,
καὶ τόσοις τὴν ὁδὸν αὐτῆς ὑπέστρωσε στεφάνοις,
ὥστ' ἐπ' ἰάσμων ἔβαινε καὶ ῥόδων ἡ νεᾶνις,
καὶ ἐπὶ τῶν εὐόσμων σου βαδίζουσα ἀνθέμων,
εἰς τὰ τερπνὰ Ἠλύσια εἰςῆλθε τριςευδαίμων.
Ποῦ τέθαπται ἡ ἱερὰ σποδὸς τῶν σῶν λειψάνων;
ἵνα σμικρὸν ἐκ τοῦ χοὸς τοῦ τάφου σου λαμβάνων,
ἐκ τούτου προβασκάνιον, Πανεύφημε, ποιήσω
καὶ φυλακτήριον σεπτὸν τῆς δέρης ἐξαρτήσω,
ἵνα μου τὸ φιλόπατρι ἀλύμαντον φυλάττῃ
καὶ τῇ Πατρίδι με πιστὸν τηρῇ τῇ παμφιλτάτῃ.
Διὰ σμικροῦ μολύβδου σὺ, τοῦ τῆς ἐπιστολῆς σου,
τῷ μολυβδίνῳ βλήματι σφενδόνης μόλις ἴσου,

ὅλον ἀπέκτεινας στρατὸν πολέμιον καὶ μίαν
τῆς σῆς πατρίδος ἔλυσας στενὴν πολιορκίαν,
λαθραίως δ' ἐπιστείλασα ὑπὲρ πατρίδος, μένεις
διδακτικὸν παράδειγμα σὺ πάσαις ταῖς παρθένοις,
διδάσκον, ὅτι Ἑλληνὶς μόνον ἐπὶ ὀφέλει
τοῦ προςφιλοῦς ἔθνους αὐτῆς κρυφίως γράμμα στέλλει,
καὶ τῆς Πατρίδος ἑαυτῆς τὸν ἔρωτα τὸν πρῶτον
ἡγεῖται καὶ τὸν κράτιστον ἁπάντων τῶν ἐρώτων.
Ποῦ τέθαπται ὁ ἔνδοξος, Πατρὶς, Δημόκριτός σου (ϛ.'),
ὁ κλέους ἐπαυράμενος ἐν Σαλαμῖνι τόσου!,
τρίτος ἐνάρξας τῆς κλεινῆς ἀνδρείως ναυμαχίας
καὶ πέντε Περσικὰς ἑλὼν ταῖς ἓξ ναυσί σου νῆας,
καὶ ὁ σωτὴρ γενόμενος νηῒ μιᾷ Δωρίδι,
εἰς ἣν ἤδη ἐνήλλοντο πελεκυφόροι Μῆδοι,
ὡς μαρτυρεῖ ἡ ἀψευδὴς τοῦ Σιμωνίδου Μοῦσα,
τοὺς ἄθλους τοῦ περικλεοῦς ἀνδρὸς διεξιοῦσα;
Δεῖξον μοι τοὺς ἐκ τοῦ κλεινοῦ τοῦ Δημοκρίτου γένους
ἐκ τῶν κατοίκων σου, Πατρὶς, τυχὸν καταγομένους.
Ἴσως τόν σὸν ἀπόγονον, ἔνδοξε συμπολῖτα,
τῶν Ἐνετῶν ἀπόγονος μίσθιον ἔχει θῆτα·
ἴσως ἐκ σοῦ, ἡ τάλαινα, ἑλκύουσα τὸ γένος,
δυςείμων καὶ λιμώττουσα περικαλλὴς παρθένος,
λιποῦσα τὸ χωρίδιον, ἐν Βυζαντίῳ, ξένη,
τὸν ἄρτον αὐτῆς, μογερὰ θεραπαινὶς, κερδαίνει,
καὶ ἐπιχαίνει τῇ τιμῇ αὐτῆς, τῷ σεμνῷ κάλλει,
παντὸς ἡδυπαθοῦς αὐτῆς κυρίου ἡ ἀγκάλη.
Τὸ αἷμα σου ἐν ταῖς φλεψὶ κυκλοφορεῖται ἴσως
ἐμοῦ, οὗ ὅσον καὶ τὸ σὸν πρὸς τὴν δουλείαν μῖσος,
καὶ τὴν Ἑλλάδα ὅσον σὺ φιλοῦντος καὶ ἑτοίμου
τεκμηριῶσαι τὴν ἐμὴν στοργὴν τῷ αἵματί μου.

Τὸ ξενικὸν ποῦ τείχισμα, ὅπερ τοῖς καταράτοις
φυγάσι σου ἐδείματο ὁ Πέρσης Μεγαβάτης,
στενῶς πολιορκήσας σε τέσσαρας μῆνας μάτην,
δύςμαχον ἄγων στρατιὰν πολυαριθμοτάτην
ἐξ ἐπιλέκτων μαχητῶν Μιλήτου καὶ Περσίας,
καὶ νῆας τάξας κύκλῳ σου θοὰς πεντακοσίας;
Ἀλλὰ οὐδόλως ἴσχυσαν οὐδὲ δυνάμεις τόσαι
τὴν τοῦ Αἰγαίου πάγκαλον σὲ ἄνασσαν δουλῶσαι
καὶ ὑποζεῦξαι τὸν τοῦ σοῦ αὐχένα πάλιν δήμου
τῷ τῶν ὀλίγων ἅρματι, Πατρὶς ἀγαπητή μου (ζ.′).
Ποῦ ἵσταντο ταγάλματα ἐκεῖνα, Πατρὶς φίλη,
τοῦ περιπύστου Βύζου σου ἃ ἔγλυψεν ἡ σμίλη,
ταῦτα ποιῆσαι τῆς Λητοῦς αὐτὸν ἱκετευσάσης
μετὰ δακρύων μητρικῶν καὶ λιπαρίας πάσης,
καὶ ἃ πολλῷ ὑπέρτερα τῶν ἑαυτῶν ἐλπίδων
Λητὼ, Ἀπόλλων, Ἄρτεμις ἐσκίρτων ὅτε εἶδον;
Πρὸς τοὺς θεοὺς δὲ εὐσεβῶν καὶ τὸν κλεινὸν πατέρα,
οὗ τῆς Φειδίου οὐδαμῶς ἦν ἡ γλυφὶς ὑστέρα,
ἀνέθετ' ὁ χρηστὸς αὐτοῦ υἱὸς τῷ Λητοῦς γένει
τὸ ἔργον ἵνα ἐς ἀεὶ ἁμίλλης ὅρος μένῃ.
Τῆς εὐσεβείας τοῦ υἱοῦ καὶ τῆς σοφῆς μνημεῖα
τέχνης τοῦ γλύψαντος πατρὸς, ἡ τύχη ὑμῶν ποία;
τὸ πῦρ ἀπετιτάνωσεν ὑμᾶς καμίνου; εἴτε
ἀγροῖκοι πρὸς αἱμασιὰν κατέθραυσαν χωρῖται;
εἴτε ἀπήνεγκαν ὑμᾶς αἱ χεῖρες ἀλλοφύλων,
πολύτιμον τοῦ ληστρικοῦ αὐτῶν ἐπίπλου σῦλον;
εἴτε σὺ, Νάξος, ἐν τῇ γῇ τῇ σῇ, ὡς ἐν φιλτάτης
μητρὸς ἀγκάλῃ, ἀβλαβῆ ἔτι αὐτὰ φυλάττεις
μέχρις οὗ ἄλλην γενεὰν κατοίκων ἕξῃς, πλεῖον
τὴν τέχνην τῶν προγονικῶν τιμῶσαν κειμηλίων;

ἢ μὴ τοῦ ἔργου σώζεται μόνη ἡ ἁπλῆ μνεία
καὶ τὸ ψιλὸν ἐπίγραμμα παρὰ τῷ Παυσανίᾳ; (η.')
Τίς ἡ θρηνώδης σου ἀκτὴ, ἀφ' ἧς ἡ Κρῆσσα κόρη
τὴν τοῦ Θησέως φεύγουσαν τριήρη ἐθεώρει,
καὶ γινομένην δύςοπτον, ἀεὶ ἀμυδροτέραν,
τέλος δὲ ὅλως ἀφανῆ τῆς Ὀρτυγίας πέραν;
καθὼς, ὅσον ἀφίστανται τοῦ ἐνεστῶτος, ἧττον
τῇ μνήμῃ γίνοντ' ἐναργεῖς νεκρῶν ἀειποθήτων
τῆς προςφιλοῦς καὶ σεβαστῆς μορφῆς οἱ χαρακτῆρες,
ὡς πᾶν τῆς πλάνου βιοτῆς συμβεβηκὸς θυμῆρες.
Σὺ τῇ Ἑλλάδι ἀφορμὴ κλέους, Πατρίς, ἐγένου
ἀφθίτου, ὑπὸ τῶν ἐθνῶν ἁπάντων ζηλουμένου,
τὸν πρῶτον ἥττης κόλαφον σὺ τῇ Περσίᾳ δοῦσα
καὶ πρώτη καταισχύνασα, σμικρὰ νησὶς, τὰ Σοῦσα,
τὸν Πέρσην ἀποκρούσασα στρατάρχην Μεγαβάτην,
ὅςτις, πολιορκήσας σε τέσσαρας μῆνας μάτην,
εὐστόλους ἐπαγόμενος δὶς ἑκατὸν τριήρεις,
πολιορκίας μηχανῶν, στρατοῦ λογάδος πλήρεις,
εἰς τὴν Ἀσίαν αἴσχιστα ᾤχετο, κακῶς πράττων,
οἰμώζων τὴν ἀπώλειαν νηῶν, ἀνδρῶν, χρημάτων (ζ.').
Οὕτως ἐγένου τῶν κλεινῶν ἀγώνων σὺ αἰτία,
ἀφ' ὧν τοσαῦτα ἤρατο ὁ Ἕλλην ἀριστεῖα
ἐν Μαραθῶνι, Πλαταιαῖς, Μυκάλῃ, Σαλαμῖνι,
καὶ δόξαν, ἥτις, τηλαυγὴς, ὑπέρλαμπρος, οὐ δύνει.
Σὺ τῆς Ἐλευθερίας εἶ ἡ Πρωτομάρτυς, ὅτι
τοῦ μαρτυρίου σὺ αὐτῆς τὰ ἄλγη ἔσχες πρώτη·
τὸ πρῶτον θῦμα τῆς ὀργῆς τοῦ Πέρσου σὺ ἐγένου,
τὴν ὑπὸ σοῦ ἧτταν αὐτοῦ τὴν πρὶν ἐκδικουμένου·
τὰ ἱερὰ, τὴν πόλιν σου δι' ἀπανθρωποτάτης
ὁ Ἀρταφέρνης στρατιᾶς ἐνέπρησαν καὶ Δᾶτις,

ζωγρήσαντες δ' οἱ ἄγριοι τοῦ Πέρσου ὁπλοφόροι
ὅσους οὐκ ἔφυγαν τῶν σῶν κατοίκων εἰς τὰ ὄρη,
ἐξανδραποδισάμενοι, ἀπέσπασαν, δειλαίους,
τῆς μητρικῆς ἀγκάλης σου, Πατρίς, ἄνευ ἐλέους.
Ταῦτα περὶ τῆς τότε σου οἰκτρᾶς πανωλεθρίας
ὁ μέγας ἱστορεῖ, Πατρίς, πατὴρ τῆς ἱστορίας (θ.')
ἀλλ' ἕτερος Ἡρόδοτος (οὗ ἀψευδὲς βιβλίον
ἐστὶν ἡ μνήμη γενεῶν περίπου δισχιλίων)
ἡ τοπικὴ Παράδοσις καὶ ἄλλην παραδίδει
κάκωσιν, ἥν σε ἀπηνῶς εἰργάσαντο οἱ Μῆδοι·
εἰς ἄντρον, λέγει, πρὸς τῇ σῇ ὑψίστῃ ἀκρωρείᾳ,
τῶν τέκνων σου κατέφυγαν ἀπόλεμα μυρία,
γυναῖκες, παῖδες, γέροντες, τὸν ἐν τῷ ὄρει ἵνα
τιμώμενον Μηλώσιον προστάτην σχῶσι Ζῆνα·
ἀλλ' ἀπηνῶς τὸ σπήλαιον ὁ Πέρσης φράξας ξύλοις,
καὶ συγκομίσας πρὸ αὐτοῦ πληθὺν εὐφλέκτου ὕλης,
ἀνῆψε καὶ τῶν τέκνων σου οὐδὲν τῶν τρισδειλαίων,
τοῦ βαραθρώδους, φλογεροῦ ἱπνοῦ ἐξῆλθε πλέον (ι.')

Τὸ παλαιὸν διδάσκουσα ὄνομ' αὐτῆς βλαστάνει,
τοῦ Θεοφράστου ἑρμηνεύς, ἑκάστη σου βοτάνη,
ἣν ἔτι ὀνομάζουσι καθὼς ὁ Ἕλλην ὅτε
συνέγραφεν Ἰουσιεὺς οἱ σοὶ σκαιοὶ ἀγρόται.
Πᾶσα σου δέ, πολύϊχθυς, εὔκοχλος, παραλία
τ' Ἀριστοτέλους ἐξηγεῖ διαφραδῶς βιβλία,
καὶ οἱ ἐν τῇ θαλάσσῃ σου, Πατρίς, τῇ σαπφειρίνῃ
νηχόμενοι μελάνουροι, σκορπίοι, ἐρυθρῖνοι,
λαύρακες, φάγροι, γαλεοί, χάνναι, ὀρφοί, ἐγχέλυς
καὶ νῦν καλοῦντ' ὡς ὁ κλεινὸς καλεῖ Ἀριστοτέλης.

Ἕκαστον κεραμίου σου ἀρχαίου θραῦσμα, μένον
ἐπὶ αἰῶνας ἐν τῷ σῷ ἐδάφει ἐῤῥιμμένον,
μετὰ τοσούτους ὑετοὺς καὶ προςτριβάς, ἀκμαῖον
τὸ στίλβωτρον σώζει τῶν σῶν εὐτέχνων κεραμέων
καὶ πρὸς ταξιοθαύμαστα κεράμι' ἁμιλλᾶται,
ἃ τεχνουργοῦσιν ἐκπρεπῶς ἐν Σέβραις οἱ Γαλάται,
ἀδυνατεῖ δ' ὁ Χημικὸς εὑρεῖν ἡ ὕλη ἥ τις,
δι' ἧς αὐτὸ ὁ παλαιὸς ἐπέχρωσε τεχνίτης.
Εἰ λέγει ἀληθῆ ὁ σὸς Ἀγλαοσθένης, ὅτι
τὸ νέμισμα ἐφεῦρες σύ, χαράξασα ἡ πρώτη (ια.'),
σὺ ὄντως εὐεργέτις εἶ μεγίστη τῶν ἀνθρώπων,
τῆς εὐχεροῦς διδάξασα συναλλαγῆς τὸν τρόπον.

Ἐν σεβασμῷ τὸ ὄρος σου ἀνέβην βαθυτάτῳ,
ὅπου ὁ Ζεὺς Μηλώσιος τὸ πάλαι ἐτιμᾶτο (ιβ.'),
ὅςτις οὐδέν' ἀκούει νῦν λατρείας ἄλλον αἶνον
ἢ τῶν αἰγῶν τὸ βέλασμα τῶν πέριξ νεμομένων,
καὶ οὗ οὔθ' ὁ σεπτὸς ναὸς σώζεται πλέον, οὔτε
τὸ μηλοσῶον ἄγαλμα, τὸ δ' ἄλσος βεβηλοῦται,
ἡ δὲ ἀρχαιοχάρακτος ἐπιγραφὴ εἰς μάτην
τοῦ ἱεροῦ τὸν ἐναγῆ ἀπείργει ὀρειβάτην.
Εἰς τὴν ἁγίαν κορυφὴν ἐκείνην φθάς, τῶν νήσων
τῶν πέριξ τὸν χαρίεντα χορὸν περισκοπήσων,
μετ' ἀκαλύπτου κεφαλῆς καὶ σεβασμοῦ βαθέος
τὸν εἰς τὸν Δία ἔμελψα τρὶς ὕμνον τοῦ Ὀρφέως.
Ἐκεῖ ὁ Τουρνεφόρτιος, ἀρχιερεὺς μεγίστης
θεότητος, τῆς τοὺς Σοφοὺς ἐχούσης πάντας μύστεις,
τῷ παγκοσμίῳ γνώμονι σταυρῷ ἑαυτοῦ μίαν
ἐτέλεσε τῆς γενικῆς θρησκείας λειτουργίαν,

τῆς Ἐπιστήμης ὁ σεπτὸς ὁρίσας ἀρχιθύτης
ἡ θέσις γεωγραφικῶς τῶν πέριξ νήσων ἤ τις (ιγ.').
Τελῶν δὲ τὴν πανίερον αὐτοῦ μυσταγωγίαν
στολὴν ἠμφίεστο λαμπρὰν, τῶν βαρυτίμων λίαν,
πρὸς ἧς ὠνὴν οὐκ ἐξαρκεῖ ἁπάντων τὸ χρυσίον
τῶν ἀπειροταλάντων μὲν, ἀλλ' ἀμαθῶν πλουσίων,
καὶ πρὸς ἣν μάτην τῆς χλιδῆς τὸ κάλλος ἁμιλλᾶται,
ἣν ἐν Λουγδούνῳ εὔτεχνοι ὑφαίνουσι Γαλάται,
καὶ ἧς τιμᾶται πῆχυς εἰς τοῖς ἡγεμόσι πλεῖον
ἢ δίμιτον πρὸς ἔνδεῶν ἀμφίεσιν χιλίων·
ἠμφίεστο δὲ ὁ κλεινὸς τῆς Ἐπιστήμης μύστης
τῇ τῆς σοφίας ἑαυτοῦ εὐκλείᾳ τῆς ὑψίστης,
ἣν ἑαυτῷ εἰργάσατο, ἐμμόχθως ἐνυφάνας
ὅσας περιηγούμενος ἀνέγραψε βοτάνας.
Μυσταγωγὸς θεότητος κἀγὼ μεγάλης, ἥτις
ἐν τοῖς ἁγνοῖς τῶν καρδιῶν λατρεύεται ἀδύτοις,
τῆς κλεϊζούσης τοὺς λαοὺς Ἐλευθερίας, μίαν
ἐκεῖ ἐτέλεσα σεπτὴν ἱεροτελεστίαν·
ὡς ἱερεὺς χριστιανὸς, ἀμοιβαδὸν τὰ δύο
προςάγων δακτυλίδια τῇ νύμφῃ, τῷ νυμφίῳ,
μνηστεύει ὑπερχαίροντας ἀλλήλοις καὶ ταχεῖαν
αὐτοῖς τὴν πολυπόθητον προμνᾶται συζυγίαν,
ἐ . . . . ρων,
ἀ . . . . ρων,
κ . . . . δων,
μ . . . . δων,
τ . . . . σία,
ὧ . . . . σία (ιδ.').
Ἰδοὺ χορὸς περικαλλῶν, φαιδρῶν, ἁγνῶν παρθένων,
κύκλῳ τῆς πρώτης ἀδελφῆς αὐτῶν συνορχουμένων

τῆς νησιώτιδος σειρτῆς ὀρχήσεως τὸ εἶδος,
ἐν ᾗ ὡς καψιδρώτιον ἑκάστης ὀρχηστρίδος,
ᾧ ἔχεται τῶν παρ' αὐτῇ χορευουσῶν παρθένων
(ὑπὸ τῶν τοῦ Θεοῦ χειρῶν λαμπρῶς ἐξυφασμένον·
ἡ κρόκη αὐτοῦ ἄργυρος καὶ σάπφειρος ὁ στήμων)
συνείρει τὸν φαιδρὸν χορὸν ἡ ἅλς ἡ λειοκύμων.
Ἑκάστη αὐτῶν εὔκλειαν ἀρχαίαν μίαν φέρει
ὡς ὅρμον ἀδαμάντινον λαμπρὸν περὶ τῇ δέρῃ.
Ἔνδοξοι νῆσοι, χαίρετε, κανᾶ ἀνθέων πλήρη.
Οἷα αἰσθήματα ὑμῶν ἡ θέα διεγείρει!
Ἑκάστη, δακτυλίου ὡς σαρδόνυξ, ἢ ἀχάτης
γλυπτὸς, ἓν φέρει εἴκασμα γλυφῆς ἐντεχνοτάτης·
ἡ Πάρος τὸν κλεινὸν αὐτῆς πικρὸν ἰαμβογράφον,
οὗ ἀντὶ δάφνης νήριον τὸ στέφος τῶν κροτάφων·
τὴν προδοσίαν τῆς Τιμοῦς, Δίκης παρ' ᾗ ἀγχόνη,
καὶ πλήττουσα ἡ Δήμητρα τὸ Μιλτιάδου γόνυ (ιε.').
Τῇ δακτυλιολίθῳ ἔν τῇ τιμαλφεῖ τῆς Ἴου
μνημεῖον, τὸ τοῦ ἀοιδοῦ ἐγγέγλυπται τοῦ θείου.
Τῇ Δήλῳ θαυμασίως ὡς εἰσὶν ἐπειργασμένα
τὸ τοῦ Δηλίου ἄγαλμα καὶ τῆς Λητοῦς ἡ γέννα.
Τῇ Σύρῳ ἐπιγέγλυπται Ἄτλας, ἐφ' οὗ τῶν ὤμων
ὁ ἐν αὐτῇ ἐφευρεθεὶς φέρεται ὡρογνώμων.
Ἡ ἀδελφοκτονία δὲ, δι' ἣν ἡ Κλειὼ φρίττει (ις'.)
τῇ Μήλῳ καὶ ἡ θαυμαστὴ ἐν Λούβρῳ Ἀφροδίτη.
Ἡ Πολυκρίτη, Νάξος, σοὶ ἐγγέγλυπτ' ἡ κλεινή σου,
ἡ γέννησις καὶ αἱ τροφοὶ αἱ τρεῖς τοῦ Διονύσου·
ἡ Ἀριάδνη ἐν δεινῇ ὁρῶσα ἀγωνίᾳ
τοῦ ἐραστοῦ ἀπαίρουσαν πλησίστιον τὴν νῆα.
Ὁ τῆς Μυκόνου τὴν γλυφὴν ἐμφαίνει αἱματίτης
τῆς τῶν Γιγάντων παγγενεὶ ὑφ' Ἡρακλέους ἥττης (ιζ.'),

ἡ Γύαρος δ' ἐξόριστον Ῥωμαῖον, ὅστις, τάλας,
ποθεῖ δεσμώτης τῆς μακρὰν Πατρίδος τὰ ἀγκάλας (ιη.').
Τῆς Τήνου ὁ πολύτιμος σαρδόνυξ γλυπτὸν φέρει
Ἄγγελον διιπτάμενον Θεοῦ ἐν τῷ αἰθέρι,
φέροντα κρίνον, καὶ σεμνὴν παρθένον, ἧς τὸ κάλλος
φωτὸς περὶ τὴν κεφαλὴν εὐάκτιν στέφει ἅλως,
καὶ ἥτις πρὸς τὸν Γαβριὴλ ἐκθάμβως ἀναβλέπει,
ὡς τὰ εὐάγγελα αὐτοῦ ἀκροωμένη ἔπη.
Ἐν τῇ τῆς Κύθνου τιμαλφεῖ ἰάσπιδι Ὑγεία
γλυπτὴ προχόῃ ποδαλγοῦς καταιονᾷ τὰ γυῖα.
Τῷ πολυτιμοτάτῳ δὲ τῆς Χίου σμαραγδίῳ
ἐγγεγλυμμένοι γεραροὶ εἰσὶ πρεσβῦται δύο·
ὁ Ὅμηρος, δαφνοστεφὴς καὶ σκῆπτρον φέρων, οἷα
ἄναξ ἐν τῇ τῶν ποιητῶν τῶν ἐπικῶν χορείᾳ·
ὁ Κοραῆς, χειραγωγῶν περικαλλῆ παρθένον,
ἧς φέρουσι κρίκους δεσμῶν τὰ γυῖα τεθραυσμένων·
ὁ σοφὸς γέρων δ' ὁδηγεῖ τὴν κόρην εἰς τὸν θρόνον,
ὅν ἄνασσα παγκόσμιος κατεῖχε πρὸ αἰώνων.
Ὁ Σάμου φέρει σάπφειρος ἄνδρα, ὅς τ' ὄμμα αἴρων
εἰς οὐρανούς, παρατηρεῖ τὰς σχέσεις τῶν ἀστέρων·
τὸν εὐκλεῆ Ἀρίσταρχον, τῆς Σάμου γόνον, ὅστις
πρῶτος ἐγένετο σοφὸς ἀστρονομίας γνώστης
ἐν χρόνοις, καθ' οὓς τῶν σοφῶν Ἑρσχέλων καὶ Νευτόνων
οἱ πρόγονοι ἐγίνωσκον ὑαίνας κτείνειν μόνον.
Ἔτι δὲ φέρει τὴν θεάν, ἥτις, εὐμενεστάτη,
τῶν γάμων καὶ τῶν τοκετῶν τὸ πάλαι ἐπροστάτει·
τὴν Ἥραν, ἧς, ὡς τοῦ Διὸς ἀγαπητῆς συζύγου,
ἐκεῖ ὑπὸ τοῖς ἄνθεσιν ἐκλοχευθείσης λύγου,
ἐν Σάμῳ μέγας ἦν ναός, οὗ οὐδεὶς ἴσος τέως,
ὡς ἱστορεῖ ἡ „Θάλεια“ τοῦ Ἁλικαρνασέως (ιθ.').

Τῆς Πάτμου δὲ ὁ σάρδιος τὸν Θεολόγον φέρει,
τὴν „Ἀποκάλυψιν“ αὐτοῦ γράφοντα ἐν διφθέρι,
καὶ παρ' αὐτῷ ἑπτὰ σεμνὰς παρθένους, τῆς Ἀσίας
ἐν προςδοκίᾳ τὰς ἑπτὰ ἁγίας Ἐκκλησίας
ἵνα τὸ φρικτὸν μάθωσιν ὅραμα, ὅ ἐφάνη
παρὰ Θεοῦ πρὸς φωτισμὸν αὐτῶν τῷ Ἰωάννῃ (κ.').
Τῆς ἐν τῆς Κρήτης τῷ γλυπτῷ ἀδάμαντι (κα.') εἰκόνος
ὑπόθεσις ὁ ῥύσιος τοῦ Μινωταύρου φόνος.
Π . . . . ον,
μ . . . . ον,
τ . . . . ρας,
τ . . . . ρας (ιδ.').
Προςγέγλυπται τῇ λίθῳ δὲ καὶ ἡ δικαιοκρῖτις
τῶν ἡγεμόνων ξυνωρὶς τῆς περιφάντου Κρήτης,
ὁ Μίνως καὶ Ῥαδάμανθυς, οἱ θέντες νόμους ὅτε
ἀτάσθαλ' ἦρχον πανταχοῦ καὶ ἄνομοι δεσπόται.
Ἔτι δ' ἐπείργασται φαιδρὰ ἡ Ἀριάδνη, ἥτις
ἀπαίρει σὺν τῷ ἐραστῇ λάθρα μακρὰν τῆς Κρήτης,
ὅς αὐτὴν εἶτα ἐν ἀκτῇ κατέλιπεν ἐρήμῃ,
ἐν ἀπογνώσει τὸ πικρὸν ἀναβοῶσαν „οἴμοι“,
τὸ τὰς εὐπίστους νουθετοῦν παρθένους πολλῷ πλεῖον,
ἢ βίβλων παραινετικῶν αἱ συμβουλαὶ χιλίων.
Τίνος τῶν ἐν τῷ πέριξ σου χορεύοντι θιάσῳ
παρθένων, Νάξος, εὐκλεῶν τὴν δόξαν πρώτης ᾄσω;
Προτέρας τίνος ἐξ ὑμῶν τὸ κάλλος ἐξυμνήσῃ
ἡ Μοῦσα μου, ἀνθοστεφεῖς, τερπναὶ Μακάρων νῆσοι;,
ἃς περιβάλλει τῆς ἁλὸς ὁ ἄργυρος, μαρμαίρων,
ὡς ἐπαργύρων πρόςωπα εἰκόνων πανιέρων,
ἢ λείψανα πανσέβαστα, θαυματουργά, Μαρτύρων
ὡς στιλβηδὼν ἐντὸς θηκῶν ἀμπέχει ὁλαργύρων,

ἃς προςκυνοῦσιν οἱ πιστοὶ Χριστιανοὶ μεθ' ὅσου
ἐγὼ, Πατρίς μου, σεβασμοῦ τὸ θεῖον ἔδαφός σου;
'Ιδοὺ, τῇ Νάξῳ μονονοὺ συμβάλλουσα τὰς χεῖρας,
ἡ Πάρος, ἡ τὸν ἄνακτα τεκοῦσα τῆς σατύρας,
'Αρχίλοχον, οὗ ἕκαστον τῶν λυρικῶν κρουμάτων
πρὸς τῆς Κακίας βέλος ἦν τὸν θώρακα διᾷττον,
ὡς εἰ τὴν λίραν ἑαυτοῦ ἐξήρτυε, τανύων
τρίχας, ἀπὸ τῶν κεφαλῶν ἐκσπῶν τῶν 'Ερινύων.
Σὺ τοῖς θεοῖς τὸ μάλιστα, Πάρος, πεφιλημένον
ἀνάθημα, τὸν ἥδιστον λατρείας ἕδως αἶνον,
τὸ πάλλευκον ἀλάβαστρον τῶν θείων ἀγαλμάτων
ἀνενεγκοῦσα εὐσεβῶς ἀπὸ τῶν σῶν ἐγκάτων.
Τοῦ Πραξιτέλους ὤφθησαν πέριξ, μετὰ ἁμίλλης
σφοδρᾶς, οἱ δώδεκα θεοὶ ἐρίζοντες ἀλλήλοις,
πολλάκις, ὅτε ἤρχετο ἡ τοῦ κλεινοῦ τεχνίτου
χεὶρ ἄγαλμά τι ἐκ τοῦ σοῦ καλλιτεχνεῖν λυχνίτου,
ἕκαστος δὲ τὸν ἔκθαμβον ἐπὶ τῇ ξένῃ πάλῃ
τεχνίτην τἄγαλμα αὐτοῦ ποιῆσαι παρεκάλει.
Ἄνευ τοῦ σοῦ νῦν Χρονικοῦ τοῦ μαρμαρίνου (κβ.') μένεις
δίκην γραὸς τῆς ἑαυτῆς μνήμης ἐστερημένης.
'Εν τῇ ἀκαδημίᾳ εἷς διδάσκει τῆς 'Οξφόρδης
τὴν ἱστορίαν λίθος σου πανάρχαιος τοῖς λόρδοις.
Δακρύων καὶ βαρύθυμος τὴν κεφαλήν μου σείων,
ἐπὶ πολὺ τὸ δυςτυχὲς ἠτένιζα νησίον,
τὴν τόσην τῆς πατρίδος νῦν κατάπτωσιν οἰκτείρων
τῶν τῆς Μιλήτου εὐκλεῶν, σοφῶν καταρτιστήρων·
αἱ πέριξ ὡς ἀβέλτερον σκώπτουσι πᾶσαι νῆσοι
τὸν Πάριον νῦν, εὔδοξον πάλαι ἐπὶ φρονήσει.
τοσοῦτον, ὥστε εἵλετο ἐκ πάντων τῶν 'Ελλήνων
ἡ φθισιῶσα Μίλητος ἀκέστορα ἐκεῖνον (κγ.').

ἢ μὴ τοῦ ἔργου σώζεται μόνη ἡ ἁπλῆ μνεία
καὶ τὸ ψιλὸν ἐπίγραμμα παρὰ τῷ Παυσανίᾳ; (η.')
Τίς ἡ θρηνώδης σου ἀκτὴ, ἀφ' ἧς ἡ Κρῆσσα κόρη
τὴν τοῦ Θησέως φεύγουσαν τριήρη ἐθεώρει,
καὶ γινομένην δύςοπτον, ἀεὶ ἀμυδροτέραν,
τέλος δὲ ὅλως ἀφανῆ τῆς Ὀρτυγίας πέραν;
καθὼς, ὅσον ἀφίστανται τοῦ ἐνεστῶτος, ἧττον
τῇ μνήμῃ γίνοντ' ἐναργεῖς νεκρῶν ἀειποθήτων
τῆς προςφιλοῦς καὶ σεβαστῆς μορφῆς οἱ χαρακτῆρες,
ὡς πᾶν τῆς πλάνου βιοτῆς συμβεβηκὸς θυμῆρες.
Σὺ τῇ Ἑλλάδι ἀφορμὴ κλέους, Πατρὶς, ἐγένου
ἀφθίτου, ὑπὸ τῶν ἐθνῶν ἁπάντων ζηλουμένου,
τὸν πρῶτον ἥττης κόλαφον σὺ τῇ Περσίᾳ δοῦσα
καὶ πρώτη καταισχύνασα, σμικρὰ νησὶς, τὰ Σοῦσα,
τὸν Πέρσην ἀποκρούσασα στρατάρχην Μεγαβάτην,
ὅςτις, πολιορκήσας σε τέσσαρας μῆνας μάτην,
εὐστόλους ἐπαγόμενος δὶς ἑκατὸν τριήρεις,
πολιορκίας μηχανῶν, στρατοῦ λογάδος πλήρεις,
εἰς τὴν Ἀσίαν αἴσχιστα ᾤχετο, κακῶς πράττων,
οἰμώζων τὴν ἀπώλειαν νηῶν, ἀνδρῶν, χρημάτων (ζ.').
Οὕτως ἐγένου τῶν κλεινῶν ἀγώνων σὺ αἰτία,
ἀφ' ὧν τοσαῦτα ἤρατο ὁ Ἕλλην ἀριστεῖα
ἐν Μαραθῶνι, Πλαταιαῖς, Μυκάλῃ, Σαλαμῖνι,
καὶ δόξαν, ἥτις, τηλαυγὴς, ὑπέρλαμπρος, οὐ δύνει.
Σὺ τῆς Ἐλευθερίας εἶ ἡ Πρωτομάρτυς, ὅτι
τοῦ μαρτυρίου σὺ αὐτῆς τὰ ἄλγη ἔσχες πρώτη·
τὸ πρῶτον θῦμα τῆς ὀργῆς τοῦ Πέρσου σὺ ἐγένου,
τὴν ὑπὸ σοῦ ἧτταν αὐτοῦ τὴν πρὶν ἐκδικουμένου·
τὰ ἱερὰ, τὴν πόλιν σου δι' ἀπανθρωποτάτης
ὁ Ἀρταφέρνης στρατιᾶς ἐνέπρησαν καὶ Δᾶτις,

ζωγρήσαντες δ' οἱ ἄγριοι τοῦ Πέρσου ὁπλοφόροι
ὅσους οὐκ ἔφυγαν τῶν σῶν κατοίκων εἰς τὰ ὄρη,
ἐξανδραποδισάμενοι, ἀπέσπασαν, δειλαίους,
τῆς μητρικῆς ἀγκάλης σου, Πατρίς, ἄνευ ἐλέους.
Ταῦτα περὶ τῆς τότε σου οἰκτρᾶς πανωλεθρίας
ὁ μέγας ἱστορεῖ, Πατρίς, πατὴρ τῆς ἱστορίας (θ.')
ἀλλ' ἕτερος Ἡρόδοτος (οὗ ἀψευδὲς βιβλίον
ἐστὶν ἡ μνήμη γενεῶν περίπου δισχιλίων)
ἡ τοπικὴ Παράδοσις καὶ ἄλλην παραδίδει
κάκωσιν, ἥν σε ἀπηνῶς εἰργάσαντο οἱ Μῆδοι·
εἰς ἄντρον, λέγει, πρὸς τῇ σῇ ὑψίστῃ ἀκρωρείᾳ,
τῶν τέκνων σου κατέφυγαν ἀπόλεμα μυρία,
γυναῖκες, παῖδες, γέροντες, τὸν ἐν τῷ ὄρει ἵνα
τιμώμενον Μηλώσιον προστάτην σχῶσι Ζῆνα·
ἀλλ' ἀπηνῶς τὸ σπήλαιον ὁ Πέρσης φράξας ξύλοις,
καὶ συγκομίσας πρὸ αὐτοῦ πληθὺν εὐφλέκτου ὕλης,
ἀνῆψε καὶ τῶν τέκνων σου οὐδὲν τῶν τρισδειλαίων,
τοῦ βαραθρώδους, φλογεροῦ ἰπνοῦ ἐξῆλθε πλέον (ι.')

Τὸ παλαιὸν διδάσκουσα ὄνομ' αὐτῆς βλαστάνει,
τοῦ Θεοφράστου ἑρμηνεύς, ἑκάστη σου βοτάνη,
ἣν ἔτι ὀνομάζουσι καθὼς ὁ Ἕλλην ὅτε
συνέγραφεν Ἰουσιεὺς οἱ σοὶ σκαιοὶ ἀγρόται.
Πᾶσα σου δέ, πολύϊχθυς, εὔκοχλος, παραλία
τ' Ἀριστοτέλους ἐξηγεῖ διαφραδῶς βιβλία,
καὶ οἱ ἐν τῇ θαλάσσῃ σου, Πατρίς, τῇ σαπφειρίνῃ
νηχόμενοι μελάνουροι, σκορπίοι, ἐρυθρῖνοι,
λαύρακες, φάγροι, γαλεοί, χάνναι, ὀρφοί, ἐγχέλυς
καὶ νῦν καλοῦντ' ὡς ὁ κλεινὸς καλεῖ Ἀριστοτέλης.

Ἕκαστον κεραμίου σου ἀρχαίου θραῦσμα, μένον
ἐπὶ αἰῶνας ἐν τῷ σῷ ἐδάφει ἐῤῥιμμένον,
μετὰ τοσούτους ὑετοὺς καὶ προςτριβὰς, ἀκμαῖον
τὸ στίλβωτρον σώζει τῶν σῶν εὐτέχνων κεραμέων
καὶ πρὸς τἀξιοθαύμαστα κεράμι' ἁμιλλᾶται,
ἃ τεχνουργοῦσιν ἐκπρεπῶς ἐν Σέβραις οἱ Γαλάται,
ἀδυνατεῖ δ' ὁ Χημικὸς εὑρεῖν ἡ ὕλη ἥ τις,
δι' ἧς αὐτὸ ὁ παλαιὸς ἐπέχρωσε τεχνίτης.
Εἰ λέγει ἀληθῆ ὁ σὸς Ἀγλαοσθένης, ὅτι
τὸ νέμισμα ἐφεῦρες σὺ, χαράξασα ἡ πρώτη (ια.'),
σὺ ὄντως εὐεργέτις εἶ μεγίστη τῶν ἀνθρώπων,
τῆς εὐχεροῦς διδάξασα συναλλαγῆς τὸν τρόπον.

Ἐν σεβασμῷ τὸ ὄρος σου ἀνέβην βαθυτάτῳ,
ὅπου ὁ Ζεὺς Μηλώσιος τὸ πάλαι ἐτιμᾶτο (ιβ.'),
ὅςτις οὐδέν' ἀκούει νῦν λατρείας ἄλλον αἶνον
ἢ τῶν αἰγῶν τὸ βέλασμα τῶν πέριξ νεμομένων,
καὶ οὗ οὐδ' ὁ σεπτὸς ναὸς σώζεται πλέον, οὔτε
τὸ μηλοσῶον ἄγαλμα, τὸ δ' ἄλσος βεβηλοῦται,
ἡ δὲ ἀρχαιοχάρακτος ἐπιγραφὴ εἰς μάτην
τοῦ ἱεροῦ τὸν ἐναγῆ ἀπείργει ὀρειβάτην.
Εἰς τὴν ἁγίαν κορυφὴν ἐκείνην φθὰς, τῶν νήσων
τῶν πέριξ τὸν χαρίεντα χορὸν περισκοπήσων,
μετ' ἀκαλύπτου κεφαλῆς καὶ σεβασμοῦ βαθέος
τὸν εἰς τὸν Δία ἔμελψα τρὶς ὕμνον τοῦ Ὀρφέως.
Ἐκεῖ ὁ Τουρνεφόρτιος, ἀρχιερεὺς μεγίστης
θεότητος, τῆς τοὺς Σοφοὺς ἐχούσης πάντας μύστεις,
τῷ παγκοσμίῳ γνώμονι σταυρῷ ἑαυτοῦ μίαν
ἐτέλεσε τῆς γενικῆς θρησκείας λειτουργίαν,

τῆς Ἐπιστήμης ὁ σεπτὸς ὁρίσας ἀρχιθύτης
ἡ θέσις γεωγραφικῶς τῶν πέριξ νήσων ἥ τις (ιγ.′).
Τελῶν δὲ τὴν πανίερον αὐτοῦ μυσταγωγίαν
στολὴν ἠμφίεστο λαμπρὰν, τῶν βαρυτίμων λίαν,
πρὸς ἧς ὠνὴν οὐκ ἐξαρκεῖ ἁπάντων τὸ χρυσίον
τῶν ἀπειροταλάντων μὲν, ἀλλ᾽ ἀμαθῶν πλουσίων,
καὶ πρὸς ἣν μάτην τῆς χλιδῆς τὸ κάλλος ἁμιλλᾶται,
ἣν ἐν Λουγδούνῳ εὔτεχνοι ὑφαίνουσι Γαλάται,
καὶ ἧς τιμᾶται πῆχυς εἷς τοῖς ἡγεμόσι πλεῖον
ἢ δίμιτον πρὸς ἐνδεῶν ἀμφίεσιν χιλίων·
ἠμφίεστο δὲ ὁ κλεινὸς τῆς Ἐπιστήμης μύστης
τῇ τῆς σοφίας ἑαυτοῦ εὐκλείᾳ τῆς ὑψίστης,
ἣν ἑαυτῷ εἰργάσατο, ἐμμόχθως ἐνυφάνας
ὅσας περιηγούμενος ἀνέγραψε βοτάνας.
Μυσταγωγὸς θεότητος κἀγὼ μεγάλης, ἥτις
ἐν τοῖς ἁγνοῖς τῶν καρδιῶν λατρεύεται ἀδύτοις,
τῆς κλεϊζούσης τοὺς λαοὺς Ἐλευθερίας, μίαν
ἐκεῖ ἐτέλεσα σεπτὴν ἱεροτελεστίαν·
ὡς ἱερεὺς χριστιανὸς, ἀμοιβαδὸν τὰ δύο
προςάγων δακτυλίδια τῇ νύμφῃ, τῷ νυμφίῳ,
μνηστεύει ὑπερχαίροντας ἀλλήλοις καὶ ταχεῖαν
αὐτοῖς τὴν πολυπόθητον προμνᾶται συζυγίαν,
ἐ . . . . ρων,
ἀ . . . . ρων,
κ . . . . δων,
μ . . . . δων,
τ . . . . σία,
ὤ . . . . σία (ιδ.′).
Ἰδοὺ χορὸς περικαλλῶν, φαιδρῶν, ἁγνῶν παρθένων,
κύκλω τῆς πρώτης ἀδελφῆς αὐτῶν συνορχουμένων

τῆς νησιώτιδος σειρτῆς ὀρχήσεως τὸ εἶδος,
ἐν ᾗ ὡς καψιδρώτιον ἑκάστης ὀρχηστρίδος,
ᾧ ἔχεται τῶν παρ' αὐτῇ χορευουσῶν παρθένων
(ὑπὸ τῶν τοῦ θεοῦ χειρῶν λαμπρῶς ἐξυφασμένον·
ἡ κρόκη αὐτοῦ ἄργυρος καὶ σάπφειρος ὁ στήμων)
συνείρει τὸν φαιδρὸν χορὸν ἡ ἅλς ἡ λειοκύμων.
Ἑκάστη αὐτῶν εὔκλειαν ἀρχαίαν μίαν φέρει
ὡς ὅρμον ἀδαμάντινον λαμπρὸν περὶ τῇ δέρῃ.
Ἔνδοξοι νῆσοι, χαίρετε, κανᾶ ἀνθέων πλήρη.
Οἷα αἰσθήματα ὑμῶν ἡ θέα διεγείρει!
Ἑκάστη, δακτυλίου ὡς σαρδόνυξ, ἢ ἀχάτης
γλυπτός, ἓν φέρει εἴκασμα γλυφῆς ἐντεχνοτάτης·
ἡ Πάρος τὸν κλεινὸν αὐτῆς πικρὸν ἰαμβογράφον,
οὗ ἀντὶ δάφνης νήριον τὸ στέφος τῶν κροτάφων·
τὴν προδοσίαν τῆς Τιμοῦς, Δίκης παρ' ᾗ ἀγχόνη,
καὶ πλήττουσα ἡ Δήμητρα τὸ Μιλτιάδου γόνυ (ιε.').
Τῇ δακτυλιολίθῳ ἓν τῇ τιμαλφεῖ τῆς Ἴου
μνημεῖον, τὸ τοῦ ἀοιδοῦ ἐγγέγλυπται τοῦ θείου.
Τῇ Δήλῳ θαυμασίως ὡς εἰσὶν ἐπειργασμένα
τὸ τοῦ Δηλίου ἄγαλμα καὶ τῆς Λητοῦς ἡ γέννα.
Τῇ Σύρῳ ἐπιγέγλυπται Ἄτλας, ἐφ' οὗ τῶν ὤμων
ὁ ἐν αὐτῇ ἐφευρεθεὶς φέρεται ὡρογνώμων.
Ἡ ἀδελφοκτονία δέ, δι' ἣν ἡ Κλειὼ φρίττει (ις'.)
τῇ Μήλῳ καὶ ἡ θαυμαστὴ ἐν Λούβρῳ Ἀφροδίτη.
Ἡ Πολυκρίτη, Νάξος, σοὶ ἐγγέγλυπτ' ἡ κλεινή σου,
ἡ γέννησις καὶ αἱ τροφοὶ αἱ τρεῖς τοῦ Διονύσου·
ἡ Ἀριάδνη ἐν δεινῇ ὁρῶσα ἀγωνίᾳ
τοῦ ἐραστοῦ ἀπαίρουσαν πλησίστιον τὴν νῆα.
Ὁ τῆς Μυκόνου τὴν γλυφὴν ἐμφαίνει αἱματίτης
τῆς τῶν Γιγάντων παγγενεὶ ὑφ' Ἡρακλέους ἥττης (ιζ.'),

ἡ Γύαρος δ' ἐξόριστον Ῥωμαῖον, ὅστις, τάλας,
ποθεῖ δεσμώτης τῆς μακρὰν Πατρίδος τὰ ἀγκάλας (ιη.').
Τῆς Τήνου ὁ πολύτιμος σαρδόνυξ γλυπτὸν φέρει
Ἄγγελον διιπτάμενον Θεοῦ ἐν τῷ αἰθέρι,
φέροντα κρίνον, καὶ σεμνὴν παρθένον, ἧς τὸ κάλλος
φωτὸς περὶ τὴν κεφαλὴν εὐάκτιν στέφει ἅλως,
καὶ ἥτις πρὸς τὸν Γαβριὴλ ἐκθάμβως ἀναβλέπει,
ὡς τὰ εὐάγγελα αὐτοῦ ἀκροωμένη ἔπη.
Ἐν τῇ τῆς Κύθνου τιμαλφεῖ ἰάσπιδι Ὑγεία
γλυπτὴ προχόῃ ποδαλγοῦς καταιονᾷ τὰ γυῖα.
Τῷ πολυτιμοτάτῳ δὲ τῆς Χίου σμαραγδίῳ
ἐγγεγλυμμένοι γεραροὶ εἰσὶ πρεσβῦται δύο·
ὁ Ὅμηρος, δαφνοστεφὴς καὶ σκῆπτρον φέρων, οἷα
ἄναξ ἐν τῇ τῶν ποιητῶν τῶν ἐπικῶν χορείᾳ·
ὁ Κοραῆς, χειραγωγῶν περικαλλῆ παρθένον,
ἧς φέρουσι κρίκους δεσμῶν τὰ γυῖα τεθραυσμένων·
ὁ σοφὸς γέρων δ' ὁδηγεῖ τὴν κόρην εἰς τὸν θρόνον,
ὃν ἄνασσα παγκόσμιος κατεῖχε πρὸ αἰώνων.
Ὁ Σάμου φέρει σάπφειρος ἄνδρα, ὅς τ' ὄμμα αἴρων
εἰς οὐρανούς, παρατηρεῖ τὰς σχέσεις τῶν ἀστέρων·
τὸν εὐκλεῆ Ἀρίσταρχον, τῆς Σάμου γόνον, ὅστις
πρῶτος ἐγένετο σοφὸς ἀστρονομίας γνώστης
ἐν χρόνοις, καθ' οὓς τῶν σοφῶν Ἐρσχέλων καὶ Νευτόνων
οἱ πρόγονοι ἐγίνωσκον ὕαίνας κτείνειν μόνον.
Ἔτι δὲ φέρει τὴν θεάν, ἥτις, εὐμενεστάτη,
τῶν γάμων καὶ τῶν τοκετῶν τὸ πάλαι ἐπροστάτει·
τὴν Ἥραν, ἧς, ὡς τοῦ Διὸς ἀγαπητῆς συζύγου,
ἐκεῖ ὑπὸ τοῖς ἄνθεσιν ἐκλοχευθείσης λύγου,
ἐν Σάμῳ μέγας ἦν ναός, οὗ οὐδεὶς ἴσος τέως,
ὡς ἱστορεῖ ἡ „Θάλεια" τοῦ Ἁλικαρνασέως (ιθ.').

Τῆς Πάτμου δὲ ὁ σάρδιος τὸν Θεολόγον φέρει,
τὴν „Ἀποκάλυψιν“ αὐτοῦ γράφοντα ἐν διφθέρι,
καὶ παρ' αὐτῷ ἑπτὰ σεμνὰς παρθένους, τῆς Ἀσίας
ἐν προςδοκίᾳ τὰς ἑπτὰ ἁγίας Ἐκκλησίας
ἵνα τὸ φρικτὸν μάθωσιν ὅραμα, ὅ ἐφάνη
παρὰ Θεοῦ πρὸς φωτισμὸν αὐτῶν τῷ Ἰωάννῃ (κ.').
Τῆς ἐν τῆς Κρήτης τῷ γλυπτῷ ἀδάμαντι (κα.') εἰκόνος
ὑπόθεσις ὁ ῥύσιος τοῦ Μινωταύρου φόνος.
Π . . . . ον,
μ . . . . ον,
τ . . . . ρας,
τ . . . . ρας (ιδ.').
Προςγέγλυπται τῇ λίθῳ δὲ καὶ ἡ δικαιοκρῖτις
τῶν ἡγεμόνων ξυνωρὶς τῆς περιφάντου Κρήτης,
ὁ Μίνως καὶ Ῥαδάμανθυς, οἱ θέντες νόμους ὅτε
ἀτάσθαλ' ἦρχον πανταχοῦ καὶ ἄνομοι δεσπόται.
Ἔτι δ' ἐπείργασται φαιδρὰ ἡ Ἀριάδνη, ἥτις
ἀπαίρει σὺν τῷ ἐραστῇ λάθρα μακρὰν τῆς Κρήτης,
ὃς αὐτὴν εἶτα ἐν ἀκτῇ κατέλιπεν ἐρήμῃ,
ἐν απογνώσει τὸ πικρὸν ἀναβοῶσαν „οἴμοι“,
τὸ τὰς εὐπίστους νουθετοῦν παρθένους πολλῷ πλεῖον,
ἢ βίβλων παραινετικῶν αἱ συμβουλαὶ χιλίων.
Τίνος τῶν ἐν τῷ πέριξ σου χορεύοντι θιάσῳ
παρθένων, Νάξος, εὐκλεῶν τὴν δόξαν πρώτης ᾄσω;
Προτέρας τίνος ἐξ ὑμῶν τὸ κάλλος ἐξυμνήσῃ
ἡ Μοῦσα μου, ἀνθοστεφεῖς, τερπναὶ Μακάρων νῆσοι;,
ἃς περιβάλλει τῆς ἁλὸς ὁ ἄργυρος, μαρμαίρων,
ὡς ἐπαργύρων πρόςωπα εἰκόνων πανιέρων,
ἢ λείψανα πανσέβαστα, θαυματουργά, Μαρτύρων
ὡς στιλβηδὼν ἐντὸς θηκῶν ἀμπέχει ὁλαργύρων,

ἅς προςκυνοῦσιν οἱ πιστοὶ Χριστιανοὶ μεθ' ὅσου
ἐγὼ, Πατρίς μου, σεβασμοῦ τὸ θεῖον ἔδαφός σου;
Ἰδοὺ, τῇ Νάξῳ μονονοὺ συμβάλλουσα τὰς χεῖρας,
ἡ Πάρος, ἡ τὸν ἄνακτα τεκοῦσα τῆς σατύρας,
Ἀρχίλοχον, οὗ ἕκαστον τῶν λυρικῶν κρουμάτων
πρὸς τῆς Κακίας βέλος ἦν τὸν θώρακα διᾷττον,
ὡς εἰ τὴν λίραν ἑαυτοῦ ἐξήρτυε, τανύων
τρίχας, ἀπὸ τῶν κεφαλῶν ἐκσπῶν τῶν Ἐρινύων.
Σὺ τοῖς θεοῖς τὸ μάλιστα, Πάρος, πεφιλημένον
ἀνάθημα, τὸν ἥδιστον λατρείας ἕδως αἶνον,
τὸ πάλλευκον ἀλάβαστρον τῶν θείων ἀγαλμάτων
ἀνενεγκοῦσα εὐσεβῶς ἀπὸ τῶν σῶν ἐγκάτων.
Τοῦ Πραξιτέλους ὤφθησαν πέριξ, μετὰ ἁμίλλης
σφοδρᾶς, οἱ δώδεκα θεοὶ ἐρίζοντες ἀλλήλοις,
πολλάκις, ὅτε ἤρχετο ἡ τοῦ κλεινοῦ τεχνίτου
χεὶρ ἄγαλμά τι ἐκ τοῦ σοῦ καλλιτεχνεῖν λυχνίτου,
ἕκαστος δὲ τὸν ἔκθαμβον ἐπὶ τῇ ξένῃ πάλῃ
τεχνίτην τἄγαλμα αὐτοῦ ποιῆσαι παρεκάλει.
Ἄνευ τοῦ σοῦ νῦν Χρονικοῦ τοῦ μαρμαρίνου (κβ.') μένεις
δίκην γραὸς τῆς ἑαυτῆς μνήμης ἐστερημένης.
Ἐν τῇ ἀκαδημίᾳ εἰς διδάσκει τῆς Ὀξφόρδης
τὴν ἱστορίαν λίθος σου πανάρχαιος τοῖς λόρδοις.
Δακρύων καὶ βαρύθυμος τὴν κεφαλήν μου σείων,
ἐπὶ πολὺ τὸ δυςτυχὲς ἠτένιζα νησίον,
τὴν τόσην τῆς πατρίδος νῦν κατάπτωσιν οἰκτείρων
τῶν τῆς Μιλήτου εὐκλεῶν, σοφῶν καταρτιστήρων·
αἱ πέριξ ὡς ἀβέλτερον σκώπτουσι πᾶσαι νῆσοι
τὸν Πάριον νῦν, εὔδοξον πάλαι ἐπὶ φρονήσει
τοσοῦτον, ὥστε εἵλετο ἐκ πάντων τῶν Ἑλλήνων
ἡ φθισιῶσα Μίλητος ἀκέστορα ἐκεῖνον (κγ.').

Καὶ σὺ, σμικρὰ Ὠλίαρος, ἀκόσμητος οὐ μένεις,
ἀλλ' ἐπιδείκνυσαι καὶ σὺ τὸ ἄντρον σου τοῖς ξένοις (κδ.').
Τὴν λειτουργίαν ὅτ' αὐτῶν ἐν τῇ ἀδαμαντίνῃ
ἐκείνῃ ἐκκλησίᾳ σου ἐτέλουν οἱ Λατῖνοι
ἐν νυξὶ μέσαις, καὶ φανῶν ὑπὸ φωτὶ παμπόλλων ·
οἱ σταλαγμῖται ἔλαμπον τῶν διαλίθων θόλων
(ἔνθα τὸ φῶς καὶ ἡ μολπὴ ἄγνωστα ἦσαν τέως,
ἀλλὰ τὸ κράτος ἦν σιγῆς, σκότους φρικτοῦ, βαθέος),
αἱ Νύμφαι ἐξενίσθησαν, αἵ ἀπ' αἰώνων ζῶσι
ἐν τοῖς τοῦ ἄντρου σιγηλοῖς καὶ σκοτεινοῖς κευθμῶσι,
ἀπαύστως ὡραΐσμασι κοσμοῦσ' ἀδαμαντίνοις
τῆς κατοικίας ἑαυτῶν πάντα μυχὸν ἐκείνης,
πρὸς μίαν πτύχα, κόρυμβον, θύσανον ἕνα μόνον
ἐφ' ὅλην ἐργαζόμεναι ἑκατοστὺν αἰώνων.
Ὁπόσον τοῦ θεάματος τὸ μεγαλεῖον μεῖζον!,
εἰ κλῆρος ἀνατολικὸς, τῇ γλώσσῃ Ἑλληνίζων,
τὴν λειτουργίαν, ἐν χρυσαῖς στολαῖς, ἐκεῖ ἐτέλει,
προςᾴδων τοῦ Δαμασκηνοῦ καὶ τοῦ Κοσμᾶ τὰ μέλη,
τῇ θείᾳ γλώσσῃ χρώμενος, πασῶν τῶν ἐγνωσμένων
γλωσσῶν τῇ πρὸς τὸν τοῦ Θεοῦ πρεπωδεστάτῃ αἶνον.
Τῆς εὐμελείας ἔγγιστα εἰσὶν αὐτῆς τὰ κάλλη,
ἐν ᾗ περὶ τὸν Ὕψιστον χορὸς Ἀγγέλων ψάλλει·
δι' ὃ τὸ θεῖον ἡ μολπὴ τῶν ἐν τῇ Ἑλληνίδι
ᾀσμάτων μᾶλλον ἢ ᾠδὴ ἐν ἄλλῃ γλώσσῃ ᾖδει.
Ἑλληνιστὶ ἐφθέγγετο ὁ πάλαι τὰς Ἀθήνας
τῆς Ἱερουσαλὴμ σεπτὰς προδρόμους ἀποφήνας·
ἐκεῖ ὁ θεῖος τοὺς λαοὺς ἐδίδαξε Σωκράτης
τοὺς νόμους θείας ἠθικῆς, χριστιανικωτάτης,
καὶ τὴν ψυχὴν ἐκήρυξεν ἀθάνατον, τῆς θείας
τὸ κώνειον σχὼν ἀμοιβὴν αὐτοῦ διδασκαλίας,

ὡς ἐπὶ τῷ κηρύγματι αὐτοῦ ἀλγεινοτέρας
βασάνου ὁ Θεάνθρωπος τοὺς ἥλους ἔσχε γέρας·
δι' ὃ τὸ θεῖον ἡ μολπὴ τῶν ἐν τῇ Ἑλληνίδι
ᾀσμάτων μᾶλλον ἢ ᾠδὴ ἐν ἄλλῃ γλώσσῃ ἦδει.
Τῶν ἀγαλμάτων καὶ ναῶν οἱ ἔξοχοι ἐργάται,
μάτην πρὸς οὓς ὁ καθ' ἡμᾶς τεχνίτης ἁμιλλᾶται,
Ἑλληνιστὶ ἐφθέγγοντο καὶ ἐν τοῖς παρθενῶσι
αὐτῶν ὑμνεῖτο ὁ Θεὸς ἐν Ἑλληνίδι γλώσσῃ,
τὰ δέ ἀγάλματα αὐτῶν, ὧν ἐν τῇ ὑφηλίῳ
ἀνθρώπου χεὶρ ἄχρι τοῦ νῦν οὐκ ἔγλυψε καλλίω,
ἀξίως ἐγεραίροντο τῇ τῶν Ἑλλήνων γλώσσῃ,
ἥτις ἁμίλλης πρόκειται φθογγὴ ταῖς ἀηδόσι,
καὶ ἥτις τῇ ἡδύτητι αὐτῆς τὸ θεῖον κάλλος
τῶν ἀγαλμάτων καὶ ναῶν ἐπηύξανε μεγάλως·
δι' ὃ τὸ θεῖον ἡ μολπὴ τῶν ἐν τῇ Ἑλληνίδι
ᾀσμάτων μᾶλλον ἢ ᾠδὴ ἐν ἄλλῃ γλώσσῃ ἦδει.
Ἑλληνιστὶ συνέγραψαν τὸ τῶν Εὐαγγελίων
οἱ θεῖοι Εὐαγγελισταὶ θεόπνευστον βιβλίον,
καὶ τὰς περὶ τοῦ ἱεροῦ δικαίου συζητήσεις
Ἑλληνιστὶ αἱ σύνοδοι ἐποίησαν ἐπίσης,
τὴν γλῶσσαν σου προκρίνασαι, Ἑλλὰς, ἐν τοῖς κανόσι,
τῆς Ἐκκλησίας οἵτινες τὴν νῆα κυβερνῶσι.
Ἑλληνιστὶ ἐγράφησαν καὶ τῶν τριῶν μεγάλων
τῆς Ἐκκλησίας τοῦ Χριστοῦ οἱ λόγοι διδασκάλων,
ὧν τὴν χρυσῆν εὐέπειαν, ἀνέφικτον εἰςέτι,
ἀνθάμιλλοι ἐζήλωσαν εἰς μάτην Βοσσουέτοι·
δι' ὃ τὸ θεῖον ἡ μολπὴ τῶν ἐν τῇ Ἑλληνίδι
ᾀσμάτων πλεῖον ἢ ᾠδὴ ἐν ἄλλῃ γλώσσῃ ἦδει.
Τοῦ πολυθεϊσμοῦ ἰδοὺ ἡ Βηθλεέμ, ἡ Δῆλος,
τῇ γενετείρᾳ τοῦ Χριστοῦ τεκοῦσα ἐναμίλλως·

ἐπὶ γὰρ ταύτης, ἐν τιμῇ τοῖς χρόνοις οὔσης πρώτης,
ἐτέχθη ὁ τῶν παλαιῶν Ἑλλήνων Φωτοδότης,
ὁ Φοῖβος, ὁ τοῦ αἰσθητοῦ φωτὸς δοτὴρ, Ἀπόλλων,
τῶν θηλειῶν αὐτοῦ Χριστὸς ἐννέα Ἀποστόλων,
ἐν δὲ τῇ θείᾳ Βηθλεὲμ ὁ τὰς φυλὰς ἁπάσας
τῷ θείῳ φέγγει τῆς αὐτοῦ θρησκείας καταυγάσας.
Δωροφοροῦσαν προςδοκᾶς κατ' ἔτος, Δῆλος, μάτην
τὴν θεωρίδα Ἀθηνῶν τὴν πολυτελεστάτην.
Οὐδένα σοι νῦν θεωρὸν τριήρης ἄγει πλέον,
ἀλλ' ἔστιν ὅτ' αἰγῶν ὁλκὰς ἀγέλην πειναλέων,
ἵνα τοὺς θάμνους φάγωσιν, οὓς φύει ἡ σεπτή σου
γῆ μόλις ἔτι, τῆς στοιβῆς, τοῦ λήδου, τοῦ κυτίσου,
ζηλοτυπεῖ δ' ὁ Δήλιος Ἀπόλλων τοὺς εἰς Τῆνον
προςικνουμένους θεωροὺς ὁρῶν τῶν Πανελλήνων.
Τῶν ἑορτῶν ποθῶν ἰδεῖν ἐκείνων μίαν μόνον,
τὸ πάλαι ἃς ἦγεν ἐν σοὶ τὸ Σέβας τῶν προγόνων,
τάδε ἀπὸ τῆς τοῦ „Διὸς“ (κε.') πανσέπτου ἀκρωρείας
ἀναφωνῶ, πρὸς οὐρανὸν χεῖρας ὑψῶν ὑπτίας·
„Ζεῦ, ὅςτις πάλαι, τῶν ποιμνῶν ὡς σωστικὸς προστάτης,
„λατρείας ἀπελάμβανες ἐνθάδ' εὐλαβεστάτης,
„καὶ οὗ τὸ ἄλσος ἄβατον τοῖς ἀλιτροῖς φυλάττει
„ἔτι καὶ νῦν ἐπιγραφὴ ἐκεῖ ἀρχαιοτάτη,
„καὶ ὅςτις τοῦ Ὀλύμπου σου ἐκδιωχθεὶς, δυςφόρως
„εἰς τοῦτο τὸν σὸν θρόνον, Ζεῦ, μετήνεγκας τὸ ὄρος,
„ὅ το σεπτόν σου ὄνομα διατηρεῖ νῦν ἔτι,
„ἓν ποίησόν μοι θαῦμα νῦν, ἐνθέρμῳ σου ἱκέτῃ·
„δεῖξον μοι μίαν ἑορτὴν, σεισίχθων, τῶν Δηλίων,
„ἵλεως τῆς δεήσεως τῆς λιπαρᾶς μου κλύων·
„εἰς μάτην ἀπεκδέχεται ἐπὶ τοσοῦτον ἤδη
„τὸ ὄμμα μου τὸ σὸν ἰδεῖν θαυμάσιον, Κρονίδη.

„Ψευδόθεε, τὸν θρόνον σου, κρημνίσας σε, δικαίως
„ὁ σταυρωθεὶς ἐν Γολγοθᾷ κατέσχε Ναζωραῖος.
„Σοί, τῷ ἐν τῇ περικαλλεῖ τεχθέντι ταύτῃ νήσῳ,
„σοὶ εὐλαβῶς τῷ εὐαστῇ προςπίπτω Διονύσῳ·
„δεῖξον μοι μίαν ἑορτὴν, Ληναῖε, τῶν Δηλίων,
„προφρόνως τῆς δεήσεως τῆς λιπαρᾶς μου κλύων.
„Ψευδόθεος, Βάκχε, καὶ σὺ καὶ τὴν λιπαρωτάτην
„εὐχήν μου καὶ πρὸς σὲ ἰδοὺ ἀπέτεινα εἰς μάτην·
„δικαίως ἄρα οὐδεὶς νῦν σὸν δώρημα τὸν οἶνον
„νομίζει, οὐδὲ μέμνηταί σου, Βάκχε, αὐτὸν πίνων,
„ἀλλὰ τοῦ εὐλογήσαντος τὰς ὕδατος ἓξ πλέας
„ὑδρίας πάλαι ἐν Κανᾷ, τῇ κώμῃ Γαλιλαίας,
„καὶ εἰς ἡδὺν τὸ ἐν αὐταῖς ὕδωρ μεταβαλόντος
„οἶνον καὶ δείξαντος θεὸς ὅτι ἐκεῖνος ὄντως.
„Σύ, Ἄπολλον, σύ, ὃν πληθὺς τὸ πάλαι ἐν ἐκείνῃ
„τῇ νήσῳ προςικτόρων σου κατ' ἔτος προςεκύνει,
„καὶ δι' ὃν ἔστη τὸ πλαγκτὸν τέως νησίον ἵνα
„λέκτρον πρὸς τῆς κυούσης σε παράσχῃ τὴν ὠδῖνα,
„δεῖξον μοι μίαν ἑορτὴν, Λοξία, τῶν Δηλίων,
„ἱλέως τῆς δεήσεως τῆς λιπαρᾶς μου κλύων.
„Φρούδη ἰδοὺ καὶ ἡ ἐν σοὶ ἐλπίς μου, χρυσολύρη,
„καὶ τὰ περὶ τῆς θεϊκῆς δυνάμεώς σου λῆροι,
„ἀντὶ σοῦ δὲ ὁ Ἰησοῦς νομίζεται εἰκότως
„τὸ „Φῶς τοῦ κόσμου", σὺ δὲ νῦν, ὁ πάλαι Φοῖβος, σκότος.
„Πρὸς σὲ νῦν αἴρω, Ἄρτεμι χρυσότοξε, τὰς χεῖρας,
„ἥτις ἐν τοῖς περὶ ἐμὲ ἴσως δρυμοῖς ἐθήρας,
„ἐξηρτυμένη τιμαλφῆ φαρέτραν ἐκ τῶν ὤμων,
„καθυπερτέρα τῆς πτωκός, θεά, κατὰ τὸν δρόμον.
„Σὲ τὴν σεπτὴν Ἀρτέμιδα αἰτῶ τὴν ἀγροτέραν,
„ἧς λίκνον τὸ περικλεὲς νησίον ἐκεῖ πέραν,

„δεῖξαι μοι τῶν θεωρικῶν μίαν πομπῶν ἐκείνων,
„ἃς ἔπεμπεν ὁ Σεβασμὸς ἐν Δήλῳ τῶν Ἑλλήνων.
„Ἀλλὰ ψευδὴς καὶ σὺ θεὰ καὶ ἡ κομπωδεστάτη
„ἐξύμνησις τοῦ σθένους σου ἡ Ὀρφικὴ, ἀπάτη.
„Δικαίως ὁ Ἡρόστρατος οὔ σ' ἐπτοήθη ἄρα,
„οὐδὲ ἐκώλυσεν αὐτὸν ἡ φρούδη σου κατάρα
„ἐμπρῆσαι τὸν ναὸν τὸν σὸν, τῶν ἀξιοθεάτων
„ἑπτὰ τοῦ κόσμου ὄντα ἕν, τὸ πρώτιστον, θαυμάτων,
„ἐ . . . . καὶ εἰκότως (ιδ.')
„συλεῖ τὰ λείψανα τοῦ σοῦ κλεινοῦ ναοῦ ὁ Σκῶτος (κϛ.').
„Σὲ νῦν, Λητὼ, ἀντιβολῶ, ἧς τέκνα δύο πάλαι
„δίδυμοι ἐνομίζοντο θεότητες μεγάλαι,
„ὁ Φοῖβος καὶ ἡ Ἄρτεμις, αἷς ἔδως ἐν ταῖς νήσοις
„ἐκείναις μετὰ τόσας σου τὸ ζῆν περιπλανήσεις·
„δεῖξον μοι τῶν θεωρικῶν μίαν πομπῶν ἐκείνων,
„ἃς τῷ υἱῷ σου ἔπεμπε τὸ Σέβας τῶν Ἑλλήνων.
„Ψευδὴς θεὰ καὶ σὺ, Λητὼ, καὶ τὴν λιπαρωτάτην
„εὐχήν μου καὶ πρὸς σὲ ἰδοὺ ἀπέτεινα εἰς μάτην.
„Δικαίως Θεομήτωρ οὖν νομίζεται νῦν ἄλλη,
„ἡ τὸν Χριστὸν ἐν μητρικῇ βαστάζουσα ἀγκάλῃ,
„καὶ δόξα ἀναπέμπεται, ὡς μόνῃ γενετείρᾳ
„θεοῦ, τῇ ἐν τῇ Βηθλεὲμ τεκούσῃ τὸν Σωτῆρα.
„Καὶ πρὸς σὲ νῦν, ὦ Πόσειδον, τὰς χεῖρας ἀνατείνω,
„ᾧ ναὸς πάλαι ἵδρυτο πολύσεπτος ἐν Τήνῳ,
„νησίῳ, ὅπερ ἱερὸν σοῦ πάλαι ἦν, χαράττον
„τὴν σὴν τιμίαν κεφαλὴν ἐπὶ τῶν νομισμάτων·
„δεῖξον μοι μίαν ἑορτὴν, Πόσειδον, τῶν Δηλίων,
„προφρόνως τῆς δεήσεως τῆς λιπαρᾶς μου κλύων.
„Ψευδόθεος ἄρα καὶ σὺ καὶ τὴν λιπαρωτάτην
„εὐχήν μου καὶ πρὸς σὲ ἰδοὺ ἀπέτεινα εἰς μάτην.

„Δικαίως οὖν οὐδεὶς τὴν σὴν ἐπικαλεῖται πλέον
„ἐπικουρίαν ἐν νηῒ κινδυνευούσῃ πλέων,
„ἀλλ' ὃν ἔσχον ἐπίσκοπον τὰ τῆς Λυκίας Μύρα
„ἐπικαλεῖται Ἅγιον Νικόλαον σωτῆρα,
„ὅςτις τῆς φρικαλέας σε ἐστέρησε τριαίνης,
„ἀτηροτάτης ταῖς ναυσὶ καὶ τοῖς ναυτιλλομένοις,
„σκῆπτρον δὲ φέρων τὴν χρυσῆν ῥάβδον αὐτοῦ, ἀνάσσει
„ἐκεῖνος ἐν τῷ πρόπαλαι σῷ κράτει, τῇ θαλάσσῃ.
„Πρὸς σὲ νῦν τὴν τὸ πάνσεπτον προςκύνημα ἐν Τήνῳ
„ἔχουσαν μητροπάρθενον τὰς χεῖρας ἀνατείνω·
„σὺ, παναγία δέσποινα, θεογεννήτωρ, ἥτις
„τυφλοῖς τὸ φῶς, τὴν βάδισιν χαρίζῃ παραλύτοις,
„βωβοῖς τὴν φθέγξιν, λύουσα τὰς γλώσσας πρὸς σὸν αἶνον,
„καὶ τοὺς ζοφώδεις δαίμονας τῶν δαιμονιζομένων
„εἰς τῆς Μυκόνου τἄγρια ἀποδιώκεις ὄρη,
„ἢ εἰς Αἰγαίου τοὺς βυθοὺς, ὑπεραγία κόρη,
„ἢ εἰς τῆς Θήρας τοὺς αἰπεῖς κρημνοὺς, φρικώδεις τόσον,
„ὥστε καὶ ὁ γυπαίετος μακρὰν ἐκφεύγει, πτώσσων,
„σὺ οὖν, παρὰ τῷ πανσθενεῖ ἥτις υἱῷ ἑστῶσα
„ἐν οὐρανοῖς, θαυμάσια ἐν Τήνῳ ποιεῖς τόσα,
„ἃ στόματα κηρύττουσι προςκυνητῶν μυρία,
„ἓν ἔτι καὶ νῦν ποίησον θαυμάσιον, Μαρία.
„Ἡ τοῦ ἁγίου πνεύματος ἐπιλαμψάτω χάρις
„τοῖς ἀτενέσιν εἰς τὸν σὸν σεπτὸν ναὸν βλεφάροις
„τοῦ ταπεινοῦ ἱκέτου σου, ὃς ἐν βεβαίᾳ πίστει
„γονυπετὴς σ' ἐκλιπαρῶ, παρθένε πολυλλίστη.
„Σὺ τῶν αἰώνων σκέδασον τὰ σκότη τὰ βαθέα,
„οἷς κρύπτετ' ἡ γλυκύπικρος τῶν παρελθόντων θέα,
„καὶ μίαν τῶν θεωρικῶν πομπῶν δεῖξον μοι μόνον,
„ἃς ἐν τῇ Δήλῳ ἔπεμπε τὸ σέβας τῶν προγόνων.

„Τῆς ἱκεσίας ταύτης μου ἐπάκουσον ἱλέως,
„ὦ μῆτερ τοῦ τῆς κτίσεως συμπάσης βασιλέως."
"Ω! οἷον ὑπερφυσικὸν, φαιδρὸν, ἐκ Τήνου σέλας,
ὑπέρλαμπρον, χρυσοφαὲς, φωτίζει τὰς νεφέλας!
Ἰδοὺ ἐπὶ τῇ ἑορτῇ καταίρει τῶν Δηλίων
εἰς Δῆλον τὸ δαφνοστεφὲς τῶν Ἀθηναίων πλοῖον,
χρυσόπρυμνον, φέρον χρυσῆν ἐπὶ τῶν καρχησίων
γλαῦκα, ὑφ' ἣν ὁ ἁλουργὴς αἰθύσσετ' ἐπισείων,
ᾧ ἔγχρυσος Ἀπόλλωνος εἰκὼν ἐπειργασμένη,
ἣν ἐῤῥαφίδευσαν ἁγναὶ, ἐλεύθεροι παρθένοι.
Ἐν τοῖς ἀφλάστοις πάγχρυσον φέρει Παλλάδος βρέτας,
πρὸς εἰρεσίαν εὐσθενῆ κρατῦνον τοὺς ἐρέτας.
Πρῶτος ὁ ἀρχιθέωρος, Ἀρίστων, ἀποβαίνει,
εἶτα οἱ τρεῖς συνθέωροι, λευκοῖς ἠμφιεσμένοι,
μεθ' οὓς παρθένοι Ἀττικαὶ, περικαλλεῖς τῷ εἴδει,
ἐννέα, ἐν ποδηνεκεῖ ἐσθῆτι ἁλουργίδι.
Ἰδοὺ ὁ ἀρχιθέωρος, δαφνοστεφὴς, λαμπρείμων,
τὴν ἐπὶ τὸν σεπτὸν ναὸν βραδέως στείχει οἶμον,
τῇ δεξιᾷ στεφάνωμα δάφνης χρυσῆς βαστάζων,
ἧς αἱ δαφνίδες ἐκ λαμπρῶν τετέχνηνται τοπάζων,
τῇ δὲ ἑτέρᾳ πάγχρυσον εἰκόνα τοῦ Δηλίου
Ἀπόλλωνος, τεχνούργημα τέχνης Πραξιτελείου.
Τῶν ἑπομένων θεωρῶν ὁ πρῶτος φέρει, Νέων,
ἐν χρυσῇ πλίνθῳ ψήφισμα τοῦ δήμου Ἀθηναίων,
ᾧ προςφορὰ ἐψήφισται αὐτοῦ, ἑκάστῳ ἔτει
εἰς Δῆλον τῷ ἐρικυδεῖ πεμπτέα Μουσηγέτῃ,
μάννας τριτεὺς θυμίαμα, τὸν Ἑκηβόλον ἧδον (κζ.'),
οὗ τοὺς ναοὺς τῶν εὐωδῶν πληροῖ αὐτοῦ ἀτμίδων·
πλήρη πυρῶν σιταγωγὰ, ἐν μὲν δυςετηρίᾳ,
πλοῖα, κιθάραν φέροντα ἐν τοῖς ἀφλάστοις, τρία,

ἐν ταῖς δυςετηρίαις δὲ ἓν μόνον σίτου πλοῖον,
μετὰ στατήρων Ἀττικῶν κατ' ἔτος τριςχιλίων,
ὧν φέρει τῷ Ἀπόλλωνι τὴν πρώτην δόσιν ἤδη
ὁ δεύτερος τῶν θεωρῶν ἐν ἀργυρᾷ πυξίδι.
Ὁ τρίτος, Ἀναξίλαος, χρυσοῦν θυμιατῆρα
φέρων, ἐπαίρει εὐλαβῶς τὴν θυμιῶσαν χεῖρα.
Ἔπειτα ὁ ἰσάριθμος ταῖς Μούσαις χορὸς βαίνει,
ὕμνους λιγέως ᾄδουσαι αἱ Ἀττικαὶ παρθένοι
καὶ φέρουσαι Μούσης μιᾶς τὰ σύμβολα ἑκάστη,
ὅτι ἑστία τῶν Μουσῶν τὸ τῆς Παλλάδος ἄστυ.
Τῷ Ἀττικῷ διαπρεπεῖ θιάσῳ αἵ οὐχ ἧσσον
λαμπραὶ πομπεῖαι ἕπονται τῶν τοῦ Αἰγαίου νήσων·
ἐν τῇ θεωρικῇ πομπῇ ἑκάστης πρώτη βαίνει
παρθένος πρὸς τὴν πέμπουσαν Κυκλάδα εἰκασμένη,
ἧς ἀναδείκνυσι χρυσοῦν τὸ ἔμβλημα τῷ πλήθει
ἐν χρυσῷ σκήπτρῳ, τιμαλφεῖς οὗ κόσμος πολλαὶ λίθοι·
ἐν τῇ πολυτελεῖ αὐτῆς ἐσθῆτι, ἣν παρθένοι
ἐποίησαν ἁγνεύουσαι, περιφανεῖς τῷ γένει,
πληθὺς ἐπείργαστ' ἐκπρεπῶν εἰκόνων διαχρύσων
τῶν ἔργων, ἃ ἐκλέϊσαν τὴν χορηγοῦσαν νῆσον.
Μετὰ τὴν καλλιπρόςωπον, σεμνὴν παρθένον, εἶσι
ἁβρῶν μειράκων ξυνωρὶς ἐν φοινικαῖς ἐσθῆσι,
εὔπλοκον δὲ φέρει κανοῦν ἕκαστος μεῖραξ, γέμον
παντοίων ἐκπρεπῶν, ἁβρῶν καὶ εὐωδῶν ἀνθέμων.
Ὁ ἀρχιθέωρος, σεμνὸς, λευχείμων βαίνει εἶτα
(τὸ κρίνον τὴν ὑπέρλευκον ζηλοῖ αὐτοῦ ἐσθῆτα),
δαφνοστεφὴς, κομίζων ἓν ἐκ τῶν τιμαλφεστάτων
ῥυσίων τῷ Ἀπόλλωνι χρυσῶν ἀναθημάτων.
Εἶτα δὲ οἱ συνθέωροι, λευχείμονες ἐπίσης
καὶ ἐστεμμένοι στέφεσιν ἐκ δάφνης διαχρύσοις,

τὰ τιμαλφῆ κομίζουσιν, ἡ Νῆσος αὐτῶν ὅσα
προςάγει τῷ Θεῷ, αὐτοῦ τὴν ἑορτὴν τιμῶσα.
Ἰδοὺ ἡ μεγαλοπρεπὴς πομπὴ ἀφικομένη
εἰς τὸν ναὸν, ὃν παμπληϑεῖς κυκλοῦσιν ἀστοὶ, ξένοι,
οὓς πᾶσαι εἰς τὴν ἱερὰν ἔπεμψαν τῆτες Δῆλον
αἱ χῶραι, τὸ Ἑλληνικὸν ἃς ναίει κλεινὸν φῦλον.
Οἵα ἡ τοῦ σεπτοῦ ναοῦ ἐκπρέπεια, τὸ κάλλος!
ἠξίωται Θεὸς ποτὲ ναοῦ τοιούτου ἄλλος;
Τῆς τοῦ προτεμενίσματος πύλης ἰδοὺ πλησίον
ὁ μέγιστος μαρμάρινος Ἀπόλλων τῶν Ναξίων (κη.'),
δεικνὺς τῇ δεξιᾷ αὐτοῦ τὴν ἀναϑεῖσαν νῆσον,
τῷ ὕψει ὑπερβάλλων δὲ τοῦ ἱεροῦ τὸ γεῖσον.
Ἰδοὺ ὁ φοίνιξ ὁ χαλκοῦς, ἀκήρατος, ἀκμαῖος,
ὡς ὅτε ὁ κλεινὸς αὐτὸν ἀνέϑετ' Ἀϑηναῖος·
τοῦ ἔργου πρὸς τοὺς φοίνικας ἡ ὁμοιότης οἵα!
Ὄντως αὐτὸν ἐποίησεν ἀνϑρώπου εὐτεχνία;
Θαῦμα πῶς καὶ ἡ Γῆ αὐτὴ ὑπ' ἐμφερείας τόσης,
τῆς πάντα ξένον Θεατὴν τοῦ ἔργου ἀπατώσης,
οὐκ ἐπλανήϑη ἐκλαβεῖν τὸν φοίνικα ἐκεῖνον
τῆς Φύσεως, οὐ χειρῶν δὲ, ὃν ἔργον ἀνϑρωπίνων,
καὶ τρέφειν, ἵνα, ὡς φυτὸν ἀναβλαστῆσαν φύσει,
εἰς αὔξησίν τε ἐπιδῷ, καὶ τελεοκαρπήσῃ.
Τὸ τοῦ ναοῦ ἀέτωμα τὴν τέχνην Θαυμασίαν
φέρει γλυφὴν, τικτόμενον ἐν Δήλῳ τὸν Λοξίαν.
Ἐν τοῖς τριγλύφοις δ' ὁ Θεὸς πεποίητ' ἀποκτείνων
τὸν Πύϑωνα, διάχρυσον πρὸς τοῦτο τόξον τείνων.
Ἐκεῖ ἐπείργαστ' ὁ χορὸς καὶ τῶν Μουσῶν προσέτι,
ἑπόμενος τῷ ψάλλοντι τὴν λύραν Μουσηγέτῃ,
καὶ διφρηλάτης ἐν χρυσῷ τεϑρίππῳ ὁ Ἀπόλλων,
ἀκτινοβόλος διιὼν τοῦ οὐρανοῦ τὸν Θόλον.

Ἰδοὺ ἐκεῖ καὶ οἱ υἱοὶ αὐτοῦ, Φαέθων, Ἴων,
Ἀσκληπιὸς, φιλάνθρωπος δοτὴρ ἀκῶν ἠπίων,
Ὑμέναιος καὶ τῆς θεᾶς οἱ ἱερεῖς Κυβέλης·
ἐποίησε δὲ θαυμαστῶς πάντα ὁ Πραξιτέλης.
Πρὸ τοῦ ναοῦ τὴν ἱερὰν πομπείαν Δηλιάδων
παρθένων ὑποδέχεται χορὸς, λιγέως ᾄδων
τὸν περὶ τὸν Ἀπόλλωνα πανίερον παιᾶνα·
εὐώδης δὲ ἀπὸ χρυσῶν θυμιατήρων μάννα,
οὓς φέρουσι, πάντα πληροῖ τὸν χῶρον τῆς ἡδείας
αὐτῆς καὶ τὸν Ἀπόλλωνα τερπούσης εὐωδίας.
Ἐν μέσῳ τοῦ φαιδροῦ χοροῦ τῶν ἐκπρεπῶν τῷ κάλλει
παρθένων, ὧν ἡ καλλονὴ ἀκμαιοτάτη θάλλει,
ὁ τοῦ θεοῦ ἀρχιερεὺς ἵσταται Εὐρυκλείων,
αὐτὸς δὲ καὶ ἐπώνυμος ὢν ἄρχων τῶν Δηλίων.
Ἠμφίεσται δὲ κυανῇ πολυτελεῖ ἐσθῆτι,
ὡς νόμος τῷ Ἀπόλλωνος σεπτῷ ἱεροθύτῃ,
καὶ στέφει δάφνης ἱερᾶς ἔστεπται, ἣν παρθένος
οὔπω δεκατετραετὴς, περιφανὴς τὸ γένος,
ἔδρεψεν ἐκ τοῦ τοῦ θεοῦ ἱεροῦ ἄλσους, ὅπου
οὐ θέμις βῆναι ἀλιτροῦ πόδα ποτὲ ἀνθρώπου.
Παρὰ τῷ γεραρῷ ἰδοὺ ἑστὼς ἱεροθύτῃ
ὁ θυηπόλος Διοκλῆς ἐν ἐκπρεπεῖ ἐσθῆτι,
φέρων περιῤῥαντήριον χρυσοῦν, οὗ κόσμος λίθοι
παντοῖαι πιμαλφέσταται ἐν θαυμασίῳ πλήθει.
Τοῦ ἱεροῦ τοῦ Ἰνωποῦ ὕδατος δ' ἔστι πλῆρες,
ὃ αἱ ἁγναὶ ἠρύσαντο ἱεροφάντου χεῖρες.
Ὁ Εὐρυκλείων τὴν πομπὴν τῆς δάφνης τῇ δεσμίδι,
ἐμβάπτων εἰς τὸ ἅγνισμα, περιῤῥαντίζει ἤδη.
Νῦν ἄγει πρόσθεν τοῦ βωμοῦ τὸ θῦμα νεανίας,
ἐξηρτυμένον εὐανθεῖς ἐκ τῶν κερῶν ταινίας,

χρυσόκερων βοῦν ἄῤῥενα, πίονα, μέγαν, οἷον
τὸ εὐβοτώτατον ποτὲ οὐκ ἤνεγκε πεδίον.
Τὰς οὐλοχύτας ἐν χρυσῷ φέρει κανῷ, πλησίον
ἑστὼς τοῦ ἱεροῦ βωμοῦ ὁ πρόμαντις Μνασίων.
Ἰδοὺ νῦν ἐκ τῆς ἱερᾶς κίστης ξεστῆς (ἣν φέρων
ἐν χρυσῷ λίκνῳ ἱερεὺς αὐτῷ ὑπέχει γέρων)
ὁ σεπτὸς θύτης τὴν στιλπνὴν σφαγίδ' ἀναλαμβάνων,
καὶ τρία ἐκ τῶν ἱερῶν τελεστικῶν ποπάνων,
ἃ θεὶς ἐν τῷ σεπτῷ βωμῷ, τὰς οὐλοχύτας δράσσει
ἵνα αὐτὰς ἐπὶ βωμὸν καὶ θῦμα ἐπιπάσῃ.
Νῦν ὁ ἱεροσαλπιγκτὴς τῇ σάλπιγγι σημαίνει,
ὅτι ἡ θεία ἄρχεται θυσία τελουμένη.
Ὦ!, Θεοτόκε, τὸ λαμπρὸν ἔσβεσας αἴφνης σέλας,
καὶ πρὸ τῆς Δήλου κελαινὰς ἐπέτασας νεφέλας,
πρὶν ἔκθαμβον τὸ ὄμμα μου καὶ τὴν θυσίαν ἴδῃ,
ἧς ὁ θυτὴρ κατήρχετο πρὸ τοῦ εἰδώλου ἤδη·
οἰκτίρμων, αἱ δυνάμεις ἣν δοξολογοῦσι πᾶσαι
τῶν οὐρανῶν, ηὐδόκησας εὐσπλάγχνως οὐκ ἐᾶσαι
βεβηλωθῆναι (ὢ!, φρικτὸν εἰπεῖν) ὑπ' ἀνοσίας
τῶν πάλαι εἰδωλολατρῶν, αἱματηρᾶς, θυσίας
τὸ ἅγιον τοῦ ἱεροῦ βαπτίσματός μου μύρον,
δι' ὃ τοσαῦτα αἵματα ἐχύθησαν Μαρτύρων.
Εὐχαριστῶ σοι, τῇ μητρὶ τοῦ λυτρωτοῦ τοῦ κόσμου,
ἐπακουσάσῃ εὐμενῶς τοῦ ἱκετεύματός μου
καὶ αὖθις τῆς τοῦ σοῦ υἱοῦ ἤδη σαφῶς δειξάσῃ
θρησκείας τὴν ἀλήθειαν τοῖς δυςπιστοῦσι πᾶσι.

Ἰδοὺ ἡ Τῆνος ἱερὰ ποτὲ τοῦ Ποσειδῶνος,
ου ὑπὸ τῆς Μαρίας νῦν κατείληπται ὁ θρόνος.

Όταν ἀγρία θύελλα ἐν φρικαλέᾳ λύσσῃ
τὰς τῶν ἀξένων σου ἀκτῶν ῥαχίας, Τῆνος, πλήσσῃ,
αἱ εὐσεβεῖς δὲ γραῖαι σου, δεινῶς πεφοβισμέναι,
„βοήθει“ ἀνακράζουσι „τοῖς πλέουσι, παρθένε“,
νομίζει τις τῇ στιβαρᾷ ὅτι αὐτοῦ τριαίνῃ
ὁ πρώην πολιοῦχος σου τὴν θάλασσαν κυμαίνει,
ἐπὶ τῇ ἐκθρονίσει ὢν παρωργισμένος λίαν,
σοῦ πολιοῦχον ἀντ' αὐτοῦ ὁρῶν τὴν Παναγίαν.
Ὁ σὸς κλεινὸς Παναίτιος ὁ Σωσιμένους (κθ'.), Τῆνος,
τῇ σῇ νηῒ εἰς τὰς ἀκτὰς δραμὼν τῆς Σαλαμῖνος,
τοῖς Ἕλλησιν ἀνήγγειλεν, ὅτι τὴν νῆσον ἤδη
τῷ ναυτικῷ αὐτῶν στρατῷ ἐκύκλωσαν οἱ Μῆδοι·
αὐτῷ πεισθέντες δ', εὐθαρσῶς οἱ Σαλαμινομάχοι
τὰ πρὸς τὴν μάχην τὴν κλεινὴν ἐξήρτυον ἐν τάχει,
ἥτις εἰς νᾶμα ἱερὸν Ἐλευθερίας πάσης
τῆς Μεσογείου ἔτρεψε τὰ ὕδατα θαλάσσης,
ὡς τέλεσις ἁγιασμοῦ θρησκευτικοῦ μεγάλη
τὸ ὕδωρ εἰς ἁγιασμὸν πυέλου μεταβάλλει.
Ἡ Σύρος· ἐν τῇ ἀκλεεῖ τέως ταύτῃ νησίδι
πρὸς κλέος αὐτῆς ἄφθιτον ἐτέχθης, Φερεκύδη,
ὅςτις, ὡς πνεῦμα εἰς τὸν χοῦν ὁ Πλάστης, ἔδως φρένα
πανσόφου Ὡρογνώμονος καὶ σὺ εἰς λίθον ἕνα,
πελώριον δ' εἰς οὐρανοῦ τὰ ὕψη χεῖρα τείνας,
στηλίδας ὁδομετρικὰς ἐνέπηξας λιθίνας
ἐν τοῦ Ἡλίου τῇ ὁδῷ, τῇ ἄνευ ὅρων τέως,
δι' ὃ ὅσον ὁ Ἥλιος ἐκλάμψει τὸ σὸν κλέος.
Σὺ τὴν ψυχὴν ἀθάνατον γραφῇ κηρύξας πρῶτος,
τῶν φιλοσόφων πρώτιστος νομίζεσαι εἰκότως,
οὗ ἐκαθέσθη ἔμπροσθεν, εἰςέτι νεανίας
ὁ Πυθαγόρας ἀμαθὴς, τῆς σῆς διψῶν σοφιας.

Ἰδοὺ ἡ Κύϑνος, τέκνον ἧς ὁ Ἕλλην Ῥαφαῆλος,
ὁ γράψας τῶν Ἀργοναυτῶν τὸν πλοῦν ἀπαραμίλλως·
ἐκεῖ ὁ περιώνυμος Κυδίας ἐγεννήϑη,
οὗ πέντε τὸ ζωγράφημα ταλάντων ἐωνήϑη,
πινακοϑήκης εὐτειχοῦς ἀξιωϑὲν ἰδίας,
τιμῆς, ἣν μόνος ἔσχεν εἷς ζωγράφος, ὁ Κυδίας.
Ἡ Γύαρος, τῶν ἀπηνῶν Ῥωμαίων Καϋέννη,
ἐν ᾗ εἰςέτι δεσμωτῶν πληϑὺς νομίζεις στένει (ιη.′),
ἰδοὺ, εἱρκτὴ πολύστονος, μονήρης, ἐκεῖ πέραν,
ἣν, οἱονεὶ ϑελήσασα ποιῆσαι φρικτοτέραν
ἡ Ῥώμη, ἐξελέξατο, Νάξος, ἀπέναντί σου,
τὴν Κόλασιν κατέναντι παγκάλου Παραδείσου,
εἰς ὃν τὸν πάπαν ἡγεμὼν εἷς ἔπεμψε Μαρτῖνον (λ.′),
τῆς ἐξορίας τὰ δεινὰ ἀσπλάγχνως ἐπιτείνων·
εἰς τῆς Σκυϑίας πρὶν αὐτὸν τοὺς πάγους ἀποστείλῃ,
εἰς τοὺς σοὺς ἔπεμψε τερπνοὺς ἀνϑῶνας, Πατρὶς φίλη,
ἵν' αἴσϑηται τῆς Ταυρικῆς τὰ ῥίγη ἔτι μᾶλλον
δριμέα, τῇ εὐκράτῳ σου ἀλέᾳ παραβάλλων,
καὶ ϑυμαλγέστερον, τὰς σὰς εὐχύμους πρὶν ἐσϑίων
ὀπώρας, τὸ ἀνιαρὸν τῶν Σκυϑικῶν πεδίων.
Ἰδοὺ ἡ Μύκονος, ὑφ' ἣν γιγάντων ἔτι στένει
ὑφ' Ἡρακλέους ἰταμὴ φυλὴ λελιϑασμένη (ιζ.′).
Ἐκεῖ (λα.′) ὁ μέγας τέϑαπται ἐποποιὸς ὁ Χῖος·
περιαλγὴς Μαγδαληνὴ σὺ τοῦ Ὁμήρου, Ἴος,
παρὰ τοῦ ἀοιδοῦ ϑρηνεῖς τὸ μνῆμα, ὡς ἐκείνη
ἐπὶ τοῦ τάφου τοῦ Χριστοῦ βαρυπενϑὴς ἐϑρήνει.
„Πῶς, ἐλαχίστη“ ἔκϑαμβον, εἶπα, προςέχων τὄμμα,
„τοῦ τηλικούτου γίγαντος ἐχώρησας τὸ σῶμα;“
Νομίζει τις, ὦ Ὅμηρε, καὶ σὺ ἐνδόξως ὅτι
προέλιπες, ὡς ὁ Χριστὸς, τοῦ τάφου σου τὰ σκότη

καὶ μέχρι τοῦ δὲ τὸ γλυκὺ φῶς βλέπεις τῆς ἡμέρας,
νέας ποιήσεις συντιθεὶς, ἀεὶ τελειοτέρας,
νέας γὰρ ἄλλας καλλονὰς εὑρίσκων θαυμασίας
πολλὰς τῆς Ἰλιάδος σου ἐντὸς καὶ Ὀδυσσείας,
ἐν πάσῃ νέᾳ τις αὐτῶν μελέτῃ νέα ἔπη
νομίζει, τέρψεις ἐπειδὴ ἐκ τούτων νέας δρέπει.
Ἐκεῖ τὸ μέρος τῆς οἰκτρᾶς Καλλίστης βλέπω φρίσσων
τὸ οὔπω ὑπὸ τῶν φρικτῶν καταποθὲν ἀβύσσων·
ἄλλο οὐδέν σου σώζεται, παγκάλη νῆσος, πλέον
ἢ μέρος τῶν τοῦ φοβεροῦ κρατῆρος σου χειλέων.
Εἰκὼν φρικωδεστάτη εἶ σὺ τῆς Ἑλλάδος, Θήρα,
τῆς τὴν δουλείαν φοβερὸν σχούσης ὡς σὺ κρατῆρα,
ὅστις πυρίπνους ἔφθειρε τὸ κάλλος τῆς ἀρχαίας
Ἑλλάδος, στίφη βάρβαρα λάβαν αὐτοῦ ἐκχέας.
Ὅσον τῆς πάλαι Θήρας δὲ τ' αὐτῆς νῦν οἰκτρὰ μέρη,
τοσοῦτον καὶ ἡ νῦν Ἑλλὰς τῆς πάλαι διαφέρει.
Ἐκεῖ ὡς ἀναθέματος πέτραν ὁρῶ τὴν Μῆλον (λβ.')
κατὰ τῶν τοὺς υἱοὺς αὐτῆς κτεινάντων ὁμοφύλων.
Πᾶς παραπλέει γνήσιος Ἕλλην σὲ, Μῆλος, λείβων
δάκρυα ἐπὶ τῇ σφαγῇ τῶν σῶν ἁβρῶν ἐφήβων,
ἀποκαθᾶραι δ' οὐκ ἀρκεῖ τὸ ἄγος τῶν σφαγέων
τῶν σῶν θυμάτων οὐδ' αὐτὸ τὸ ἀχανὲς Αἰγαῖον,
οὐδ' ἡ τοῦ ἔθνους εὔκλεια πᾶσα τοὺς καταράτους
ὁπλίτας τοῦ αἱμοχαροῦς ἁγνίσαι Φιλοκράτους (ιϛ.).
Ἡ ἑλληνὶς τὰ τέκν' αὐτῆς Ῥαχὴλ εἰςέτι κλαίει,
ἃ ἔκτειναν ὁμαίμονες ὁπλῖται λυσσαλαῖοι.
Θαῦμα πῶς ἔμεινε φαιδρὰ ἐν τῇ σφαγῇ ἐκείνῃ,
Μῆλος, ἡ Ἀφροδίτη σου αὐτὴ ἡ μαρμαρίνη,
ἣν ἀπὸ σοῦ ἀφήρπασαν βιαίως οἱ Γαλάται,
ἣν ἐν τῷ Λούβρῳ ἔκθαμβος πᾶς ὀφθαλμὸς θεᾶται

καὶ ἥτις οὐδαμῶς δοκεῖ ἔργον θνητοῦ γλυφίδος
(τοσοῦτον ἐντελὲς αὐτοῦ καὶ φυσικὸν τὸ εἶδος),
ἀλλὰ αὐτῆς τῆς Κύπριδος τὸ σῶμα, ὅλως μένον
ἀκήρατον, ὡς ἔμπνουν ἦν, ἀπολελιθωμένον·
καὶ ὅταν μάχη γίνεται τῶν Γάλλων ἐναντίον,
γέμει δὲ λύθρου καὶ νεκρῶν τῆς μάχης τὸ πεδίον,
νομίζει πᾶς τις αἵματος ὅτι ἡ χύσις τόσου
περὶ τοῦ τόσον ἐντελοῦς, θεὰ, ἀγάλματός σου.
Ἰδοὺ ἡ Κρήτη (λβ.'), ὁρατὴ τοῖς ὀφθαλμοῖς μου μόλις,
ἐν ᾗ τὸ πάλαι ἑκατὸν εὐδαιμονοῦσαι πόλεις
κ . . . . σεις (ιδ.')
τὰ ὕδατα ἐφοίνιξαν τῆς Λυβικῆς θαλάσσης·
ἐ . . . . ος
τ . . . . ως,
ἀ . . . . σης
κ . . . . σις,
π . . . . των
τ . . . . τον.
Ἰδοὺ ἡ Χίος (λβ.'), θαυμαστὴ, ἀσύγκριτος τὴν χάριν,
ἡ Καλλιόπη γόνος ἧς τρισένδοξος ἡ ἄῤῥην,
ἀνθέμοις στέφεσθαι ἁβροῖς ὅσαι στιγμαὶ ἀξία,
δι' ὃ τῆς Χίου παμπληθεῖς οἱ ἴασμοι, τὰ ἴα.
Ὡς ἣν ἐν μόνῃ τῇ κλεινῇ τοῦ ἀοιδοῦ πατρίδι
μαστίχην πάνυ εὔοσμον ἡ σχῖνος ἀναδίδει
διαμασσῶσιν ἅπασαι ἡδέως αἱ παρθένοι,
ὧν ἐν τοῖς ἁγνοῖς στόμασιν ἡ εὐοσμία μένει,
τὰ τοῦ Ὁμήρου φέρονται οὕτω διὰ στομάτων
ἔπη, πληροῦντα τὴν ψυχὴν ἡδίστων ἀρωμάτων.
Ὁ τῆς Ἑλλάδος πάνσοφος Νέστωρ ἐκεῖ τῆς νέας,
ο Κοραῆς, ὑπ' ἀνθηρὰς ἐτέχθη λειμωνέας.

῾Ως τὸν δαλὸν, ᾧ ἔκαυσε τρεῖς στόλους ὁ Κανάρης,
τὸ ξίφος, τὸ τουφέκιον, οἷς οἱ κλεινοὶ Βοτσάρεις
ἠρίστευσαν, θαυματουργὰ ὅπλ᾽ αὐτῆς ἔσχε τρία
ἡ τῆς ῾Ελλάδος ἔνδοξος τῆς νῦν ᾿Ελευθερία,
οὕτω καὶ τὴν γραφίδα, ἣν ὁ Κοραῆς λαμβάνων,
τῶν μύδρων αὐτῆς ἔβαλλε τὸ πῦρ κατὰ τυράννων.
῞Οτε ξιφήρεις δήμιοι παρὰ τῶν σῶν Μαρτύρων
ἀπῄτουν, Χίος, τὴν ζωὴν, ἣ τοῦ Χριστοῦ τὸ μύρον,
τὸ αἷμ᾽ αὐτῶν τὴν θάλασσαν εἰς ἔκτασιν φοινίσσον
πολλὴν περὶ τὴν τὸν Χριστὸν μὴ ἀρνουμένην νῆσον,
ὡς δόξης ἄλως σ᾽ ἔστεφε τὴν ἀθλοφόρον ἄλλη,
ἥτις χρυσῆ τὴν κεφαλὴν ῾Αγίας περιβάλλει.
᾿Ιδοὺ ἡ Σάμος, ... η (ιδ.´)
χ . . . . η.
Τὰ τρία καθ᾽ ῾Ηρόδοτον ποῦ, Σάμος, θαύματά σου; (ιθ.´)
Τοῦ ἱεροῦ σου ποταμοῦ αἱ ὄχθαι ποῦ ᾿Ιμβράσου,
ἔνθα ὑπὸ τοῖς ἄνθεσι λύγου εὐωδεστάτης
τῶν γάμων καὶ τῶν τοκετῶν ἐτέχθη ἡ προστάτις;
῾Ο ἑκατόνναυς στόλος σου νῦν ἐν θαλάσσαις τίσι
ἀγνώστοις πλέει, ἵνα σοι γῆν νέαν κατακτήσῃ;
῎Ισως ἴδῃς πάλιν πρὸς σὲ πλεούσας νικηφόρους
τὰς σὰς ἐκείνας ἑκατὸν θοὰς πεντηκοντόρους,
ὧν ἐν τῷ ἐπισείονι χρυσῆ τῆς ῞Ηρας μήνη,
τὰ δ᾽ ἄφλαστα ὁ τῆς θεᾶς χρυσοῦς ταὼς καλλύνει.
῞Εν ἡ Μυκάλη τῶν κλεινῶν καὶ τῶν πολυυμνήτων
προςκυνημάτων τῶν λαῶν, ἐγγύτατός σου γείτων·
ὡς συσκευῆς γαλβανικῆς ὑπερμεγέθους πόλος
σ᾽ ἠλέκτρισεν, ἐπὶ πολλοὺς αἰῶνας νεκρὰν ὅλως,
κ . . . . τους
ἀ . . . . τους (ιδ.´).

Ὁ μέγιστός σου ποῦ ναὸς πάντων τῶν γνωστῶν τέως,
ὡς ἱστορεῖ ἡ „Θάλεια" τοῦ Ἁλικαρνασέως (ιϑ.');
Ἀκέραιος ἴσως καὶ νῦν καὶ σῶος ἔτι μένει,
καὶ ἐν αὐτῷ ὁλόχρυσος ἡ Ἥρα ἱδρυμένη,
τὸ πλῆϑος δὲ τῶν ἐν αὐτῷ, εἰςέτι ἀσυλήτων,
ἀναϑημάτων σώζεται, τὸν ϑεατὴν ἐκπλῆττον,
καὶ αἱ ἁγναὶ ἱέρειαι αὐτοῦ εἰςέτι ζῶσι
σὺν τοῖς σοβοῦσιν ἱεροῖς πέριξ χρυσοῖς ταῶσι (λγ.'),
ψευδῶς δ' οἱ περιηγηταὶ προςιστοροῦσιν, ὅτι
ἡ σὴ ἀκμὴ ἀπῴχετο ὁλοσχερῶς ἡ πρώτη·
ὅτι τὸ μόνον λείψανον τοῦ σοῦ Ἡραίου μένει,
τοῦ ϑαυμαστοῦ, στήλης μιᾶς ἡ βάσις, τεϑραυσμένη,
καὶ ὁ Ῥωμαῖος στρατηγὸς ὅτι Οὐῆῤῥος λείαν
τὸν ἐν αὐτῷ ἀπήνεγκε πλοῦτον εἰς Ἰταλίαν.
Ὁ μέγας ἀστρονόμος σου Ἀρίσταρχος τὰ ὕψη
περισκοπεῖ τοῦ οὐρανοῦ τὰ ἔναστρα ἐν ϑλίψει,
ὅτι ψιλῇ τοὺς οὐρανοὺς ἠρεύνα τῇ ὁράσει,
τηλεσκοπίου ἔρημος προςβλέπων τοῖς ἀστράσι,
καὶ διὰ τοῦτο ἧραντο τὸ κλέος τὸ ἀνῆκον
αὐτῷ οἱ ξένων ὀφϑαλμοί, Ἐρσχέλων, Κοπερνίκων (λδ.').
Ἡ ὀπτασία ἡ φρικτὴ ἐντρόμῳ ἐπεφάνη
ἡ τῆς „Ἀποκαλύψεως" ἐκεῖ (λε.') τῷ Ἰωάννῃ,
Ὁμήρῳ τῶν Χριστιανῶν, ὃν ἡ Ἑλλὰς εἰ ἕνα
τῶν ἐπὶ τῆς ἀκμῆς αὐτῆς μυσοποιῶν ἐγέννα,
ἐν τοῖς ποιήμασιν αὐτῆς ἔσχεν ἂν ἔτι τρίτον
ἔπος, τῶν τοῦ κλεινοῦ αὐτῆς ἐποποιοῦ οὐχ ἧττον.
Τὸ ἔπος, ὃ ἐποίησεν ἡ ὑψιπετεστάτη
διάνοιά σου, τοῦ Χριστοῦ πᾶς λάτρις πιστὸς τάττει
μετὰ τὰ Εὐαγγέλια, καὶ ἀπολαύει ἴσου,
ὦ Θεολόγε, σεβασμοῦ ἡ „Ἀποκάλυψίς" σου.

Οὐδὲ ὑμᾶς, μικροφυεῖς παρθένους ἐν θιάσῳ
συνορχουμένας εὐαυξῶν, ἀπρόςρητα ἐάσω,
νησίδια τῆς Ἀμοργοῦ, Ἀνάφης, Ἰκαρίας,
Φολέγανδρον καὶ Σίκινον, τὰς ἄνευ ἱστορίας·
χαίρετ', ἐλάχιστα, λυπρὰ καὶ πάμπτωχα νησία·
τιμαλφεστάτη ἀρετὴ ὑμῶν ἡ ξηρασία
καὶ τὸ ταλαίπωρον, ἁγνὰ τῶν ὑμετέρων σῶσαν
κατοίκων τὰ ἑλληνικὰ ἔθιμα, ἤθη, γλῶσσαν,
καὶ ὡς ἐπὶ τοῦ Ἀπελλοῦ καὶ Πραξιτέλους ἦσαν
τοὺς χαρακτῆρας τῆς μορφῆς αὐτῶν διατηρῆσαν.
Ἡ ἄνικμος ὡς ὑμῶν γῆ τὸν εὔπνουν τρέφει λῆδον,
οὕτως ἡ ἔνδεια ὑμῶν (τῶν ξένων ἐπηλύδων
ὑμᾶς φυλάξασ' ἀμιγῆ) εἰςέτι τὴν βοτάνην
τοῦ ἐθνισμοῦ ὑμῶν ἁγνὴν ἐποίησε βλαστάνειν,
κατέστησε δ' ἀπρόςφορον τὴν ὑμετέραν χώραν
τοῦ παπισμοῦ τὸν βλαβερὸν ἐκφῦσαι μανδραγόραν.
Ὡς ἔχιδνάν τις εἰς πολλὰ ἂν κατακόψῃ μέρη,
πρὶν νεκρωθῶσιν, ἕκαστον ἐπὶ βραχὺ ἀσπαίρει,
οὕτω καὶ τὰ τεμάχια σφαδάζουσιν ἐπίσης
τῆς Παποσύνης εἰς πολλὰ ἐνύδριος κοπείσης·
ἀλλ' ἐν ὑμῖν τεμάχιον τοῦ δράκοντος ἀσπαῖρον
ἐν εἴδει Ἰταλιωτῶν οὐδὲν φραγγοπατέρων,
ὡς τοῦ θηρίου τμήματα ἐν ἄλλαις ἑλληνίσι
νήσοις σημεῖα, σπώμενα, ἔτι ζωῆς δεικνῦσι.

Ἐὰν τὴν υἱϊκὴν μολπήν, ἣν σοὶ εὐγνώμων ᾖσα,
προφρόνως ἤκουσας, Πατρίς, ἐλάχιστα ἡσθεῖσα,
εὐδαιμονία τοῦτο μοι, ἣν οὐδεμία ἄλλη
τῶν ἐν τῷ βίῳ ἐφετῶν, εὐκταίων ὑπερβάλλει.

ΣΗΜΕΙΩΣΕΙΣ.

(α.') Ἐν Νάξῳ λατομεῖται, ὡς γνωστὸν, ἡ πλείστη καὶ ἀρίστη σμύρις, εἰς ἣν (οἷα δὴ καὶ νῦν ἔτι χρήσιμον οὖσαν πρὸς τὴν δι' ὕδατος ἀκόνησιν τῶν τομικῶν ἐργαλείων) ἀναφέρονται, κατὰ πᾶσαν πιθανότητα, ἥ τε ἐν τοῖς ἑξῆς Πινδαρικοῖς ἔπεσι παρομοίωσις

„. . . . . φαίης κέ νιν ἀνδράσιν ἀθληταῖσιν ἔμμεν
„Ναξίαν πέτραις ἐν ἄλλαις χαλκοδάμαντ' ἀκόναν."

('Ισθμιον. Ε.', 72),

καὶ τὸ ἐν τῷ ἑτέρῳ τῶν ἐν τῇ „Ἑλληνικῇ ἀνθολογίᾳ" „βωμῶν" λεγόμενον·

„Μαύλιες δ' ὕπερθε πέτρης Ναξίας θοούμεναι."

Περὶ τῆς Ναξίας σμύριδος ἐστὶν, ὡς δοκεῖ, ὁ λόγος καὶ τῷ Διοςκορίδῃ ἐν τοῖς Περὶ ὕλης ἰατρικῆς βιβλίοις, λέγοντι (Ε.', ρξη.') „Ἀκόνης Ναξίας τὸ ἀπότριμμα τοῦ πρὸς αὐτὴν „ἀκονηθέντος σιδήρου, ἐγχρισθὲν κ. τ. λ."

(β.') „Ἐξαίσιον ὄφιν" νοητέον τὴν ἀναιρετικωτάτην νόσον „λοιμώδη, ἢ διφθερογόνον κυνάγχην", ἀπενεγκοῦσαν τὸ μονογενὲς ἡμῶν τέκνον, Ἀντώνιον, κατὰ Μάϊον τοῦ 1870.

(γ.') „Συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων πλῆθος „καὶ ἐπιθέντος ἐπὶ τὴν πυρὰν, ἔχιδνα, ἐκ τῆς θέρμης ἐξελθοῦσα, „καθῆψε τῆς χειρὸς αὐτοῦ. Ὡς δὲ εἶδον οἱ βάρβαροι κρεμάμενον „τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλήλους πάντως

„φονεὺς ἐστὶν ὁ ἄνθρωπος οὗτος, ὃν, διασωθέντα ἐκ „τῆς θαλάσσης, ἡ δίκη ζῆν οὐκ εἴασεν. Ὁ μὲν οὖν, „ἀποτινάξας τὸ θηρίον, ἔπαθεν οὐδὲν κακὸν, οἱ δὲ προςεδόκων „αὐτὸν μέλλειν πίμπρασθαι, ἢ καταπίπτειν ἄφνω νεκρόν. Ἐπὶ „πολὺ δὲ αὐτῶν προςδοκώντων καὶ θεωρούντων μηδὲν ἄτοπον „εἰς αὐτὸν γινόμενον, μεταβαλόμενοι, ἔλεγον θεὸν αὐτὸν εἶναι.“
(Πράξ. Ἀποστόλ., Κεφ. ΚΗ.', §. γ.' — ς.')

(δ.') Τὰ εἰς ἃ ἀναφέρεται ἡ σημείωσις αὕτη ἔπη οὐκ εἰσὶ κατὰ φανταστικὴν εὑρεσιλογίαν ἐπινενοημένα, ἀλλ' ὑπόκειται αὐτοῖς ἡ τῆς ἀληθείας ὑπόστασις, ἣ ἐπιμαρτυροῦσιν αἱ ὑφ' ἡμῶν ἐν Νάξῳ γενόμεναι ἀρχαιολογικαὶ ἀνασκαφαὶ καὶ ἀναζητήσεις, αἱ ἀγαγοῦσαι εἰς τὴν ἀνακάλυψιν τοῦ τε μαρμαρίνου δαπέδου ἀρχαίου οἰκοδομικοῦ μνημείου καί τινων ἐπ' αὐτοῦ ἀρχαιολογικῶν εὑρημάτων, ἑνὸς μετρονομικοῦ λίθου (ὃν, ὠνησαμένη τῇ εἰσηγήσει ἡμῶν ἡ ἑλληνικὴ Κυβέρνησις, μετηγάγετο εἰς Ἀθήνας, ἔνθα ἀπετέθη ἐν τῷ ἐθνικῷ ἀρχαιολογικῷ μουσείῳ) καὶ δέκα, τέως ἀνεκδότων, ἀρχαίων ἑλληνικῶν ἐπιγραφῶν. Ὅρα τὴν περὶ τῶν ἀνασκαφῶν καὶ ἀναζητήσεων τούτων ἔκθεσιν ἡμῶν πρὸς τὸ ἐπὶ τῆς δημοσίας ἐκπαιδεύσεως ἑλληνικὸν ὑπουργεῖον ἐν „Πανδώρας“ Τόμ. ΚΑ.', φυλλ. 500 (σελ. 462—468).

(ε.') Τὴν περὶ ἧς τὰ ἔπη ὑπόθεσιν ἱστορεῖ ὁ Πλούταρχος („Γυναικῶν ἀρεταί“) ὡς ἑξῆς· „Πολυκρίτη· Ναξίοις καὶ „Μιλησίοις συνέστη πόλεμος διὰ τὴν Ὑψικρέοντος τοῦ Μιλησίου „γυναῖκα, Νέαιραν. Αὕτη γὰρ ἠράσθη Προμέδοντος, Ναξίου, „καὶ συνέπλευσεν, ὃς ἦν μὲν ξένος τοῦ Ὑψικρέοντος, ἐρασθείσῃ „δὲ τῇ Νειαίρᾳ συνῆλθε καὶ, τὸν ἄνδρα φοβουμένην, ἀπαγαγὼν „εἰς Νάξον, ἱκέτιν τῆς Ἑστίας ἐκάθισεν. Τῶν δὲ Ναξίων οὐκ „ἐκδιδόντων, χάριν τοῦ Προμέδοντος, ἄλλως δὲ ποιουμένων „πρόφασιν τὴν ἱκετείαν, ὁ πόλεμος συνέστη. Τοῖς δὲ Μιλησίοις „ἄλλοι τε πολλοὶ καὶ προθυμότατα τῶν Ἰώνων Ἐρυθραῖοι συνε-

„μάχουν καὶ μῆκος ἔσχε καὶ συμφορὰς ἤνεγκε μεγάλας ὁ πόλεμος, „εἶτ' ἐπαύσατο δι' ἀρετὴν γυναικὸς, ὡς συνέστη διὰ μοχθηρίαν. „Διόγνητος γὰρ ὁ τῶν Ἐρυθραίων στρατηγὸς, ἔχων καὶ πεπιστευ- „μένος ἔρυμα κατὰ τῆς Ναξίων πόλεως εὖ πεφυκὸς καὶ κατε- „σκευασμένον, ἠλάσατο λείαν τῶν Ναξίων πολλὴν καὶ γυναῖκας „ἐλευθέρους καὶ παρθένους ἔλαβεν, ὧν μιᾶς, Πολυκρίτης, „ἐρασθεὶς, εἶχεν αὐτὴν, οὐχ ὡς αἰχμάλωτον, ἀλλ' ἐν τάξει „γαμετῆς γυναικός. Ἑορτῆς δὲ τοῖς Μιλησίοις καθηκούσης ἐν „τῇ στρατιᾷ καὶ πρὸς πόσιν ἁπάντων καὶ συνουσίας τραπομένων, „ἠρώτησε τὸν Διόγνητον ἡ Πολυκρίτη μή τι κωλύοι πεμμάτων „μερίδας ἀποπέμψαι τοῖς ἀδελφοῖς αὐτῆς. Ἐπιτρέψαντος δ' „ἐκείνου καὶ κελεύσαντος, ἐνέβαλε μολίβδινον γραμματίδιον εἰς „πλακοῦντα, κελεύσασα φράσαι τὸν κομίζοντα τοῖς ἀδελφοῖς „ὅπως αὐτοὶ μόνοι καταναλώσωσιν ἃ ἔπεμψε. *) Οἱ δ' ἐντυ- „χόντες τῷ μολύβδῳ καὶ τὰ γράμματα τῆς Πολυκρίτης ἀναγνόν- „τες, κελευούσης νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις, ὡς ὑπὸ μέθης „διὰ τὴν ἑορτὴν ἐξημελημένων πάντων, προςήγγειλαν τοῖς στρα- „τηγοῖς καὶ παρώρμησαν ἐξελθεῖν μετ' αὐτῶν. Ἁλόντος δὲ τοῦ „χωρίου καὶ πολλῶν διαφθαρέντων, ἐξῃτήσατο τὸν Διόγνητον ἡ „Πολυκρίτη παρὰ τῶν πολιτῶν καὶ διέσωσε. Αὐτὴ δὲ, πρὸς „ταῖς πύλαις γενομένη, τοὺς πολίτας ἀντῶντας αὐτῇ, μετὰ χαρᾶς

---

*) Κατὰ τὴν τοπικὴν ἐν Νάξῳ παράδοσιν, καθ' ἣν διηγήσατό μοι ὁ πατὴρ, μειρακίῳ ἔτι, τὸ περὶ οὗ ὁ λόγος ἱστόρημα, ἡ Πολυκρίτη ἐνετείλατο τῷ κομίζοντι τὸ ἐπίσταλμα εἰπεῖν τοῖς ἀδελφοῖς αὐτῆς, ὅτι ὁ πεμπόμενος αὐτοῖς μιλήσιος πλακοῦς ἐστὶν ἡδύτατον ἔδεσμα, εἰ βρωθείη θερμὸς ἔτι, ἀποβάλλει δὲ, ψυχραινόμενος καὶ ἕωλος γινόμενος, τὴν ἡδύτητα αὐτοῦ. Ἐστὶ δὲ πιθανώτερον, ὅτι ταῦτα διεμήνυσε τοῖς ἀδελφοῖς αὐτῆς ἡ Πολυκρίτη, ἐπειγούσης τῆς ἑορτῆς καὶ μεγάλως διαφέροντος μαθεῖν πρὸ αὐτῆς τοὺς πολιορκουμένους τὰ διὰ τοῦ γραμματιδίου ἀγγελλόμενα, ἃ οὐκέτι ἂν ὠφέλησαν αὐτοὺς, εἰ ἐπυνθάνοντο ταῦτα, κατὰ τὸ δὴ λεγόμενον, κατόπιν ἑορτῆς, οἱουδήποτε ἐσθίοντος τὸν πλακοῦντα.

„καὶ στεφάνων ὑποδεχομένους καὶ θαυμάζοντας, οὐκ ἤνεγκε „τὸ μέγεθος τῆς χαρᾶς, ἀλλ' ἀπέθανεν, αὐτοῦ πεσοῦσα περὶ τὴν „πύλην, ὅπου τέθαπται. Καὶ καλεῖται βασκάνου τάφος, „ὡς βασκάνῳ τινὶ τύχῃ τὴν Πολυκρίτην φθονηθεῖσαν, ἀπολαῦσαι „τῶν τιμῶν. Οὕτω μὲν οἱ Ναξίων συγγραφεῖς ἱστοροῦσιν. Ὁ „δ' Ἀριστοτέλης φησὶν οὐδ' ἁλούσης τῆς Πολυκρίτης, ἄλλως δέ „πως ἰδόντα τὸν Διόγνητον ἐρασθῆναι καὶ πάντα διδόναι καὶ „ποιεῖν ἕτοιμον εἶναι· τὴν δὲ ὁμολογεῖν ἀφίξεσθαι πρὸς αὐτὸν, „ἑνὸς μόνου τυχοῦσαν, περὶ οὗ τὸν Διόγνητον, ὥς φησιν ὁ φιλό- „σοφος, ὅρκον ᾔτησεν· ἐπεὶ δ' ὤμωσεν, ἠξίου τὸ Δήλιον αὐτῇ „δοθῆναι (Δήλιον γὰρ ἐκαλεῖτο τὸ χωρίον), ἄλλως δὲ οὐκ ἂν „ἔφη συνελθεῖν. Ὁ δὲ καὶ διὰ τὴν ἐπιθυμίαν, καὶ διὰ τὸν „ὅρκον ἐξέστη καὶ παρέδωκε τῇ Πολυκρίτῃ τὸν τόπον, ἐκείνη „δὲ τοῖς πολίταις. Ἐκ δὲ τούτου πάλιν εἰς ἴσον καταστάντες, „ἐφ' οἷς ἠβούλοντο πρὸς τοὺς Μιλησίους διελύθησαν.“

Παρθένιος δὲ (Περὶ ἐρωτικῶν παθημάτων, Θ.') ἀφη-γεῖται τὰ περὶ τῆς ὑποθέσεως ταύτης ὡς ἑξῆς· „Περὶ Πολυ- „κρίτης (ἡ ἱστορία αὕτη ἐλήφθη ἐκ τῆς α.' Ἀνδρίσκου Να- „ξιακῶν· γράφει περὶ αὐτῆς καὶ Θεόφραστος ἐν τῷ δ.' τῶν „πρὸς τοὺς καιρούς)· καθ' ὃν δὲ χρόνον ἐπὶ Ναξίους Μιλήσιοι „συνέβησαν σὺν ἐπικούροις καὶ, τεῖχος πρὸ τῆς πόλεως ἐνοικοδομη- „σάμενοι, τήν τε χώραν ἔτεμνον καὶ, κατείρξαντες τοὺς Ναξίους, „ἐφρούρουν, τότε παρθένος ἀπολειφθεῖσα κατά τινα δαίμονα ἐν „Δηλίῳ ἱερῷ, ὃ πλησίον τῆς πόλεως κεῖται (Πολυκρίτη ὄνομα „αὐτῇ), τὸν τῶν Ἐρυθραίων ἡγεμόνα Διόγνητον εἷλεν, ὃς, „οἰκείαν δύναμιν ἔχων, συνεμάχει τοῖς Μιλησίοις. Πολλῷ δὲ „ἐνεχόμενος πόθῳ, διεπέμπετο πρὸς αὐτήν· οὐ γὰρ δή γε θεμιτὸν „ην, ἱκέτιν οὖσαν ἐν τῷ ἱερῷ, βιάζεσθαι· Ἡ δὲ ἕως μέν τινος „οὐ προςίετο τοὺς παραγινομένους· ἐπεὶ μέν τοι πολὺς ἐνέκειτο, „οὐκ ἔφη πεισθήσεσθαι αὐτῷ, εἰ μὴ ὁμόσειεν ὑπηρετήσειν

„αὐτῇ ὅ τι ἂν προςαιρῆται. Κατομοσαμένου δὲ ἐκείνου, καὶ „λαβομένη· τῆς χειρὸς αὐτοῦ ἡ Πολυκρίτη μιμνήσκεσθαι (;) περὶ „προδοσίας τοῦ χωρίου καὶ πολλὰ καθικετεύει αὐτήν τε οἰκτείρειν „καὶ τὰς συμφορὰς τῆς πόλεως. Ὁ Διόγνητος, ἀκούσας τοῦ „λόγου, ἐκτός τε ἐγένετο αὐτοῦ καὶ, σπασάμενος τὴν μάχαιραν, „ὥρμησεν διεργάσασθαι τὴν κόρην. Ἐν νῷ μέντοι λαβὼν τὸ „εὔγνωμον αὐτῆς καὶ ἅμα ὑπ' ἔρωτος κρατούμενος (ἔδει γὰρ, „ὡς ἔοικε, καὶ Ναξίοις μεταβολὴν γενέσθαι τῶν παρόντων κακῶν), „τότε μὲν οὐδὲν καθωμολογήσατο προδόσειν. Καὶ ἐν τῷ δὴ „Μιλησίοις ἑορτὴ μετὰ τρίτην ἡμέραν, Θαργήλια, ἐπῄει, ἐν ᾗ „πολύν τε ἄκρατον εἰςφοροῦνται καὶ τὰ πλείστου ἄξια κατα„ναλίσκουσι, τότε παρεσκευάζετο προδιδόναι τὸ χωρίον· καὶ „εὐθέως διὰ τῆς Πολυκρίτης ἐνθέμενος εἰς ἄρτον μολυβδίνην „ἐπιστολὴν [ἐπιστέλλει] τοῖς ἀδελφοῖς αὐτῆς (ἐτύγχανον δὲ ἄρα „τῆς πόλεως ἡγεμόνες οὗτοι) ὅπως εἰς ἐκείνην τὴν νύκτα παρα„σκευασάμενοι ἥκωσιν. Σημεῖον δὲ αὐτοῖς ἀνασχήσειν αὐτὸς „ἔφη λαμπτῆρα. Καὶ ἡ Πολυκρίτη δὲ τῷ κομίζοντι τὸν ἄρτον „φράζειν ἐκέλευε τοῖς ἀδελφοῖς μὴ ἐνδοιασθῆναι, ὡς τῆς πρά„ξεως ἐπὶ τέλος ἀχθησομένης, εἰ μὴ ἐκεῖνοι ἐνδοιασθεῖεν. Τοῦ „δὲ ἀγγέλου ταχέως εἰς τὴν πόλιν ἐλθόντος, Πολυκλῆς ὁ τῆς „Πολυκρίτης ἀδελφὸς ἐν πολλῇ φροντίδι ἐγένετο εἴ τε πεισθείη „τοῖς ἐπεσταλμένοις, εἴτε μή· τέλος δὲ, ὡς ἐδόκει πᾶσι πείθεσθαι „καὶ νὺξ ἐπῆλθε, ἐν ᾗ προςετέτακτο πᾶσι παραγίνεσθαι, πολλὰ „κατευξάμενοι τοῖς θεοῖς, δεχομένων αὐτοὺς τῶν ἀμφὶ τὸν Διό„γνητον, ἐςπίπτουσιν εἰς τὸ τεῖχος τῶν Μιλησίων, οἱ μέν τινες „κατὰ τὴν ἀνεῳγμένην πυλίδα, οἱ δὲ καὶ τὸ τεῖχος ὑπελθόντες, „ἀθρόοι τε ἐντὸς γενόμενοι, κατέκαινον τοὺς Μιλησίους· ἔνθα „δὴ κατ' ἄγνοιαν ἀποθνήσκει Διόγνητος. Τῇ δ' ἐπιούσῃ οἱ „Νάξιοι πάντες πολὺν πόθον εἶχον θεάσασθαι τὴν κόρην· καὶ οἱ „μέν τισιν αὐτὴν μίτραις ἀνέδουν, οἱ δὲ ζώναις, αἷς βαρυνθεῖσα

„ἡ παῖς, διὰ πλῆθος τῶν ἐπιῤῥιπτουμένων, ἀπεπνίγη. Καὶ „αὐτὴν δημοσίᾳ θάπτουσιν ἐν τῷ πεδίῳ, πάντα ἑκατὸν ἐναγί- „σαντες αὐτῇ. Φασὶ δέ τινες καὶ Διόγνητον ἐν τῷ αὐτῷ καῆναι, „ἐν ᾧ καὶ ἡ παῖς, σπουδασάντων Ναξίων.“

(ϛ.) „Νάξιοι δὲ παρείχοντο τέσσαρας [νέας]· ἀποπεμφθέντες „μὲν ἐς τοὺς Μήδους ὑπὸ τῶν πολιητέων, κατάπερ ὦλλοι νησιῶ- „ται, ἀλογήσαντες δὲ τῶν ἐντολέων, ἀπίκατο ἐς τοὺς Ἕλληνας, „Δημοκρίτου σπεύσαντος, ἀνδρὸς τῶν ἀστῶν δοκίμου, καὶ „τότε τριηραρχέοντος· Νάξιοι δέ εἰσι Ἴωνες, ἀπ' Ἀθηναίων „γεγονότες“· Ἡρόδ. Η.΄, μϛ.΄

„Δημόκριτος τρίτος ἦρξε μάχης, ὅτε παρ' Σαλαμῖνα
„Ἕλληνες Μήδοις σύμβαλον ἐν πελάγει.
„Πέντε δὲ νῆας ἕλεν δηΐων, ἕκτην δ' ὑπὸ χεῖρα
„ῥύσατο βαρβαρικὴν Δωρίδ' ἁλισκομένην.“

ΣΙΜΩΝΙΔΗΣ (παρὰ Πλουτάρχῳ, π. τ. Ἡροδότου κ.)

(ζ.΄) Τὴν ὑπόθεσιν, εἰς ἣν ἀναφέρονται τὰ περὶ ὧν ἡ σημείωσις ἔπη, ἱστορεῖ ὡς ἑξῆς ὁ Ἡρόδοτος (Ε.΄, κη.΄—λδ.΄)· „Καὶ ἤρχετο τὸ δεύτερον ἐκ Νάξου τε καὶ Μιλήτου Ἴωσι γίνεσθαι „κακά· τοῦτο μὲν γάρ, ἡ Νάξος εὐδαιμονίῃ τῶν νήσων προέ- „φερε· τοῦτο δέ, κατὰ τὸν αὐτὸν χρόνον ἡ Μίλητος αὐτή τε „ἑωυτῆς μάλιστα δὴ τότε ἀκμάσασα, καὶ δὴ καὶ τῆς Ἰωνίης ἦν „πρόσχημα· κατύπερθε δὲ τουτέων, ἐπὶ δύο γενεὰς ἀνδρῶν νοσή- „σασα ἐς τὰ μάλιστα στάσει, μέχρι οὗ μιν Πάριοι κατήρτισαν· „τούτους γὰρ καταρτιστῆρας πάντων τῶν Ἑλλήνων εἵλοντο οἱ „Μιλήσιοι. Κατήλλαξαν δὲ σφέας ὧδε οἱ Πάριοι· ὡς ἀπίκοντο „αὐτέων ἄνδρες οἱ ἄριστοι ἐς τὴν Μίλητον (ὥρεον γὰρ δή σφεας „δεινῶς οἰκοφθορημένους), ἔφασαν αὐτέων βούλεσθαι διεξελθεῖν „τὴν χώρην. Ποιεῦντες δὲ ταῦτα καὶ διεξιόντες πᾶσαν τὴν „Μιλησίην, ὅκως τινὰ ἴδοιεν ἐν ἀνεστηκυίῃ τῇ χώρῃ ἀγρὸν εὖ „ἐξεργασμένον, ἀπεγραφέατο τοὔνομα τοῦ δεσπότεω τοῦ ἀγροῦ. „Διεξελάσαντες δὲ πᾶσαν τὴν χώρην, καὶ σπανίους εὑρόντες

„τούτους, ὡς τάχιστα κατέβησαν ἐς τὸ ἄστυ, ἁλίην ποιησάμενοι,
„ἀπέδεξαν τούτους μὲν τὴν πόλιν νέμειν, τῶν εὗρον τοὺς ἀγροὺς
„εὖ ἐξεργασμένους (δοκέειν γὰρ ἔφασαν καὶ τῶν δημοσίων οὕτω
„δή σφεας ἐπιμελήσεσθαι, ὥςπερ τῶν σφετέρων), τοὺς δὲ ἄλ-
„λους Μιλησίους τοὺς πρὶν στασιάζοντας τούτων ἔταξαν πεί-
„θεσθαι. Πάριοι μέν νυν οὕτω Μιλησίους κατήρτισαν. Τότε
„δὴ ἐκ τουτέων τῶν πολίων ὧδε ἤρχετο κακὰ γίνεσθαι τῇ
„Ἰωνίῃ· ἐκ Νάξου ἔφυγον ἄνδρες τῶν παχέων ὑπὸ τοῦ δήμου,
„φυγόντες δὲ ἀπίκοντο ἐς Μίλητον. Τῆς δὲ Μιλήτου ἐτύγχανε
„ἐπίτροπος ἐὼν Ἀρισταγόρης ὁ Μολπαγόρεω, γαμβρός τε ἐὼν καὶ
„ἀνεψιὸς Ἱστιαίου τοῦ Λυσαγόρεω, τὸν ὁ Δαρεῖος ἐν Σούσοισι
„κατεῖχε· ὁ γὰρ Ἱστιαῖος τύραννος ἦν Μιλήτου καὶ ἐτύγχανε
„τοῦτον τὸν χρόνον ἐὼν ἐν Σούσοισι ὅτε οἱ Νάξιοι ἦλθον, ξεῖνοι
„πρὶν ἐόντες τῷ Ἱστιαίῳ. Ἀπικόμενοι δὲ οἱ Νάξιοι ἐς τὴν Μίλη-
„τον, ἐδέοντο τοῦ Ἀρισταγόρεω εἴ κως αὐτοῖσι παράσχοι δύναμίν
„τινα καὶ κατέλθοιεν ἐς τὴν ἑωυτῶν. Ὁ δέ, ἐπιλεξάμενος ὡς,
„ἢν δι' ἑωυτοῦ κατέλθωσι ἐς τὴν πόλιν, ἄρξει τῆς Νάξου,
„σκῆψιν δὲ ποιεύμενος τὴν ξεινίην τὴν Ἱστιαίου, τόνδε σφι
„λόγον προςέφερε· Αὐτὸς μὲν ὑμῖν οὐ φερέγγυός εἰμι δύ-
„ναμιν τοσαύτην παρασχεῖν, ὥστε κατάγειν ἀεκόντων
„τῶν τὴν πόλιν ἐχόντων Ναξίων· πυνθάνομαι γὰρ ὀκτα-
„κιςχιλίην ἀσπίδα Ναξίοισι εἶναι καὶ πλοῖα μακρὰ
„πολλά· μηχανήσομαι δέ, πᾶσαν σπουδὴν ποιεύμενος·
„ἐπινοέω δὲ τῇδε· Ἀρταφέρνης μοι τυγχάνει ἐὼν φίλος,
„ὁ δὲ Ἀρταφέρνης Ὑστάσπεω μέν ἐστι παῖς, Δαρείου δὲ
„τοῦ βασιλῆος ἀδελφεός· τῶν δ' ἐπιθαλασσίων τῶν ἐν τῇ
„Ἀσίῃ ἄρχει πάντων, ἔχων στρατιήν τε πολλὴν καὶ πολ-
„λὰς νέας· τοῦτον ὦν δοκέω τὸν ἄνδρα ποιήσειν τῶν
„ἂν χρηΐζωμεν. Ταῦτα ἀκούσαντες οἱ Νάξιοι, προςέθεσαν τῷ
„Ἀρισταγόρῃ πρήσσειν, ᾗ δύναιτο ἄριστα καὶ ὑπίσχεσθαι δῶρα

„ἐκέλευον, καὶ δαπάνην τῇ στρατιῇ, ὡς αὐτοὶ διαλύσοντες, ἐλπί-
„δας πολλὰς ἔχοντες, ὅταν ἐπιφανέωσι ἐς τὴν Νάξον, πάντα
„ποιήσειν τοὺς Ναξίους τὰ ἂν αὐτοὶ κελεύωσι, ὡς δὲ καὶ τοὺς
„ἄλλους νησιώτας· τῶν γὰρ νήσων τουτέων τῶν Κυκλάδων οὐδε-
„μίη κω ἦν ὑπὸ Δαρείῳ. Ἀπικόμενος δὲ ὁ Ἀρισταγόρης ἐς τὰς
„Σάρδις, λέγει πρὸς τὸν Ἀρταφέρνεα ὡς Νάξος εἴη νῆσος μεγά-
„θεϊ μὲν οὐ μεγάλη, ἄλλως δὲ καλή τε καὶ ἀγαθὴ καὶ ἀγχοῦ
„Ἰωνίης· χρήματα δ' ἔνι πολλὰ καὶ ἀνδράποδα. Σὺ ὦν ἐπὶ
„ταύτην τὴν χώρην στρατηλάτεε, κατάγων ἐς αὐτὴν
„τοὺς φυγάδας ἐξ αὐτῆς. Καί τοι ταῦτα ποιήσαντι,
„τοῦτο μέν, ἔστι ἑτοῖμα παρ' ἐμοὶ χρήματα μεγάλα
„παρὲξ τῶν ἀναισιμωμάτων τῇ στρατιῇ (ταῦτα μὲν γὰρ
„δίκαια ἡμέας τοὺς ἄγοντας παρέχειν), τοῦτο δέ, νήσους
„προςκτήσεαι βασιλέϊ, αὐτήν τε Νάξον καὶ τὰς ἐκ ταύ-
„της ἠρτημένας, Πάρον τε καὶ Ἄνδρον καὶ ἄλλας, τὰς
„Κυκλάδας καλευμένας. Ἐνθεῦτεν δὲ ὁρμεώμενος,
„εὐπετέως ἐπιθήσεαι Εὐβοίῃ, νήσῳ μεγάλῃ τε καὶ εὐ-
„δαίμονι, οὐκ ἐλάσσονι Κύπρου, καὶ κάρτα εὐπετέϊ
„χειρωθῆναι. Ἀποχρῶσι δὲ ἑκατὸν νέες ταύτας πάσας
„χειρώσασθαι. Ὁ δὲ ἀμείβετο αὐτὸν τοῖςδε· Σὺ ἐς οἶκον
„τὸν βασιλῆος ἐξηγητὴς γίνεαι πρηγμάτων ἀγαθῶν καὶ
„ταῦτα εὖ παραινέεις πάντα, πλὴν τῶν νεῶν τοῦ ἀριθ-
„μοῦ· ἀντὶ δὲ ἑκατὸν νεῶν διηκόσιαί τοι ἑτοῖμοι ἔσονται
„ἅμα τῷ ἔαρι· δεῖ δὲ τούτοισι καὶ αὐτὸν βασιλῆα συνέ-
„παινον γίνεσθαι. Ὁ μὲν δὴ Ἀρισταγόρης ὡς ταῦτα ἤκουσε,
„περιχαρὴς ἐών, ἀπήϊε ἐς Μίλητον. Ὁ δὲ Ἀρταφέρνης, ὥς οἱ
„πέμψαντι ἐς Σοῦσα καὶ ὑπερθέντι τὰ ἐκ τοῦ Ἀρισταγόρεω
„λεγόμενα, συνέπαινος καὶ αὐτὸς Δαρεῖος ἐγένετο, παρεσκευάσατο
„μὲν διηκοσίας τριήρεας, πολλὸν δὲ κάρτα ὅμιλον Περσέων τε
„καὶ τῶν ἄλλων συμμάχων· στρατηγὸν δὲ τουτέων ἀπέδεξε Μεγα-

„βάτην, ἄνδρα Πέρσην τῶν Ἀχαιμενιδέων, ἑωυτοῦ τε καὶ Δαρείου „ἀνεψιόν· τοῦ Παυσανίης ὁ Κλεομβρότεω, Λακεδαιμόνιος, εἰ δὴ „ἀληθής γε ὁ λόγος, ὑστέρῳ χρόνῳ τουτέων ἡρμόσατο θυγατέρα, „ἔρωτα σχὼν τῆς Ἑλλάδος τύραννος γενέσθαι. Ἀποδέξας δὲ „Μεγαβάτην στρατηγὸν Ἀρταφέρνης, ἀπέστειλε τὸν στρατὸν „παρὰ τὸν Ἀρισταγόρεα. Παραλαβὼν δὲ ὁ Μεγαβάτης ἐκ τῆς „Μιλήτου τόν τε Ἀρισταγόρεα καὶ τὴν Ἰάδα στρατιὴν καὶ τοὺς „Ναξίους, ἔπλεε πρόφασιν ἐπ' Ἑλλησπόντου· ἐπεί τε δὲ ἐγίνετο „ἐν Χίῳ, ἔσχε τὰς νέας ἐς Καύκασα, ὡς ἐνθεῦτεν βορέῃ ἀνέμῳ „ἐς τὴν Νάξον διαβάλοι. Καὶ (οὐ γὰρ ἔδεε τούτῳ τῷ στόλῳ „Ναξίους ἀπολέσθαι) πρῆγμα τοιόνδε συνηνείχθη γενέσθαι· „περιιόντος Μεγαβάτεω τὰς ἐπὶ τῶν νεῶν φυλακὰς, ἐπὶ νεὸς „Μυνδίης ἔτυχε οὐδεὶς φυλάσσων· ὁ δὲ, δεινόν τι ποιησάμενος, „ἐκέλευσε τοὺς δορυφόρους, ἐξευρόντας τὸν ἄρχοντα ταύτης τῆς „νεὸς, τῷ οὔνομα ἦν Σκύλαξ, τοῦτον δῆσαι, διὰ θαλαμίης διε-„λόντας τῆς νεὸς κατὰ τοῦτο, ἔξω μὲν κεφαλὴν ποιεῦντας, ἔσω „δὲ τὸ σῶμα. Δεθέντος δὲ τοῦ Σκύλακος, ἐξαγγέλλει τις τῷ „Ἀρισταγόρῃ ὅτι τὸν ξεῖνόν οἱ τὸν Μύνδιον Μεγαβάτης δήσας „λυμαίνοιτο. Ὁ δ', ἐλθὼν, παραιτέετο τὸν Πέρσην· τυγχάνων „δὲ οὐδενὸς τῶν ἐδέετο, αὐτὸς ἐλθὼν ἔλυσε. Πυθόμενος δὲ, „κάρτα δεινὸν ἐποιήσατο ὁ Μεγαβάτης καὶ ἐσπέρχετο τῷ Ἀρι-„σταγόρῃ. Ὁ δὲ εἶπε· σοὶ δὲ καὶ τούτοισι τοῖσι πρή-„γμασι τί ἐστι; οὐ σὲ ἀπέστειλε Ἀρταφέρνης ἐμέο πείθε-„σθαι καὶ πλέειν τῇ ἂν ἐγὼ κελεύω; τί πολλὰ πρήσσεις; „Ταῦτα εἶπε Ἀρισταγόρης. Ὁ δὲ, θυμωθεὶς τούτοισι, ὡς νὺξ „ἐγένετο, ἔπεμπε ἐς Νάξον πλοίῳ ἄνδρας φράσοντας τοῖσι Να-„ξίοισι πάντα τὰ παρεόντα σφι πρήγματα.

„Οἱ γὰρ ὦν Νάξιοι οὐδὲν πάντως προςεδέκοντο ἐπὶ σφέας „τὸν στόλον τοῦτον ὁρμήσεσθαι. Ἐπεὶ μέντοι ἐπύθοντο, αὐτίκα μὲν ἐςενείκαντο τὰ ἐκ τῶν ἀγρῶν ἐς τὸ τεῖχος, παρεσκευάσαντο

„δέ, ὡς πολιορκησόμενοι, καὶ σῖτα καὶ ποτὰ, καὶ τὸ τεῖχος „ἐσάξαντο. Καὶ οὗτοι μὲν παρεσκευάδατο ὡς παρεσομένου σφι „πολέμου. Οἱ δ' ἐπεί τε διέβαλον ἐκ τῆς Χίου τὰς νέας ἐς „τὴν Νάξον, πρὸς πεφραγμένους προςεφέροντο καὶ ἐπολιόρκεον „μῆνας τέσσερας. Ὡς δὲ τά τε ἔχοντες ἦλθον χρήματα οἱ „Πέρσαι, ταῦτα καταδεδαπάνητό σφι, καὶ αὐτῷ τῷ Ἀρισταγόρῃ „προςαναισίμωτο πολλὰ, τοῦ πλεῦνός τε ἐδέετο ἡ πολιορκίη, „ἐνθαῦτα τείχεα τοῖσι φυγάσι τῶν Ναξίων οἰκοδομήσαντες, „ἀπαλλάσσοντο ἐς τὴν ἤπειρον, κακῶς πρήσσοντες.“

(η.') Πρὸς τὰ περὶ ὧν ἡ σημείωσις αὕτη ἔπη ἔσχομεν τὸ ἐνδόσιμον ἐκ τοῦ ἑξῆς χωρίου τοῦ Παυσανίου· „Κέραμος δὲ „οὐ γῆς ὀπτῆς ἐστιν, ἀλλὰ κεράμου τρόπον λίθος ὁ Πεντέλησιν „εἰργασμένος. Τὸ δὲ εὕρημα ἀνδρὸς Ναξίου λέγουσιν εἶναι, Βύ„ζου, οὗ φασιν ἐν Νάξῳ τὰ ἀγάλματα, ἐφ' ὧν ἐπίγραμμα εἶναι

„Νάξιος Εὔεργός με γένει Λητοῦς πόρε, Βύζεο
„παῖς, ὃς πρώτιστος τεῦξε λίθου κέραμον.

„Ἡλικίᾳ δὲ ὁ Βύζης οὗτος κατὰ Ἀλυάττην τὸν Λυδὸν καὶ Ἀστυ„άγην τὸν Κυαξάρου, βασιλεύοντα ἐν Μήδοις“· (Ε.', ι.').

(θ.') Ὁ Ἡρόδοτος ἱστορεῖ (Ε.', ϙε.', ϙϛ.') ὡς ἑξῆς τὰ περὶ τῆς δευτέρας ἐπὶ τὴν Νάξον στρατείας τῶν Περσῶν, ἐξ ἧς ἐλήφθη ἡ ὑπόθεσις τῶν περὶ ὧν ἡ σημείωσις αὕτη ἐπῶν· „Πρὸς „δὲ καὶ ἡ Νάξος σφέας ἠνάγκαζε, πρότερον οὐκ ἁλοῦσα. Ἐπεὶ „δὲ ἐκ τοῦ Ἰκαρίου πελάγεος προςφερόμενοι, προςέμιξαν τῇ Νάξῳ „(ἐπὶ ταύτην γὰρ δὴ πρώτην ἐπεῖχον στρατεύεσθαι οἱ Πέρσαι), „μεμνημένοι τῶν πρότερον οἱ Νάξιοι πρὸς τὰ οὔρεα οἴχοντο φεύ„γοντες, οὐδὲ ὑπέμειναν. Οἱ δὲ Πέρσαι, ἀνδραποδισάμενοι τοὺς „κατέλαβον αὐτέων, ἐνέπρησαν καὶ τὰ ἱρὰ καὶ τὴν πόλιν· ταῦτα „δὲ ποιήσαντες, ἐπὶ τὰς ἄλλας νήσους ἀνάγοντο.“

(ι.') Ἡ περὶ ἧς τὰ ἔπη τραγικὴ περιπέτεια οὐκ ἔστι ποιητικὸν ἀνάπλασμα, ἀλλ' ἱστορικὴ ἀλήθεια, ἣν διέσωσεν ἡμῖν ἡ

ἐπιχώριος Παράδοσις, ἣ ἐπιμαρτυρεῖ καὶ ὃ μέχρι τοῦδε φέρει ὄνομα τὸ σπήλαιον ἐκεῖνο, „καταφύγι“ καλούμενον. Παραδέδοται δ' ἐν τῇ νήσῳ, ὅτι ἡ θηριώδης αὕτη μιαιφονία ἐκακουργήθη, οὐχὶ ὑπὸ τῶν Περσῶν, ἀλλ', ἐν μεταγενεστέροις χρόνοις, ὑπὸ τῶν Σαρακηνῶν, σωζομένου ἐν τοῖς περιᾳδομένοις ὑπὸ τῶν οἰκούντων τὰς περὶ τὸν τόπον ἐκεῖνον κώμας χωριτῶν καὶ ᾀσματίου τινὸς, ἀναφερομένου εἰς τὴν περὶ ἧς ὁ λόγος βαρβαρικὴν ἐπιδρομὴν, ἀρχομένου δὲ ὧδε

„Φεύγετ', Ἀργιώταις, φεύγετε,
„φεύγετε, παλληκάρια“,

Εἰκάζομεν δ' ὅτι ἡ πρὸς οὓς ἐν αὐτῷ ἡ παρακέλευσις „Ἀργιώταις“ ἦσαν οἱ Τραγεᾶται, ἤτοι οἱ κάτοικοι τῆς πόλεως Τραγεῶν, ἧς μνημονεύει Στέφανος ὁ Βυζάντιος ἐκ τοῦ Εὐπόλιδος, Τραγίαν αὐτὸς ὀνομάζων, καὶ ἥτις ἔκειτο (ὡς ἐν ἰδίᾳ περὶ Νάξου συγγραφῇ ἡμῶν ἐκθησόμεθα) ἐν τῇ θέσει „Τ' Ἀργιά.“

(ια.') Ὅρα Ὀνομαστικοῦ Πολυδεύκους βιβλ. Θ.', κεφ. ϛ.' Ἵνα δ' ἀπαλλάξωμεν ματαίου κόπου δύσκολόν τινα κριτὴν τοῦ ἐπιχειρῆσαι σοφῇ τινι καὶ μακρηγόρῳ ἀνασκευῇ τοῦ ἐν τοῖς περὶ ὧν ἡ σημείωσις αὕτη ἔπεσιν εἰρημένου, προλαμβάνομεν προσθῆναι, ὅτι, καίτοι οἴδαμεν τὰ σοφῶς πεφιλολογημένα (*Böckh*, Metrologische Untersuchungen über Gewichte, Münzfüsse und Masse des Alterthums, σελ. 76) περὶ τοῦ ζητήματος τῆς πρώτης κατασκευῆς νομίσματος, ἐκρίναμεν, οὐδὲν ἧττον, ἀρκοῦν ἐν ποιήματι ἐνδόσιμον πρὸς μνείαν τοῦ πράγματος (καὶ δὴ ἐν ὑποθετικοῦ λόγου τρόπῳ) τὴν τοῦ Ἀγλαοσθένους μαρτυρίαν, οὐδαμῶς θεωροῦντες αὐτὴν ὑπερτέραν ἀμφισβητήσεως.

(ιβ.') Ἐν τῷ ὑψίστῳ τῶν ὀρέων τῆς νήσου, ὅπερ μέχρι τοῦ νῦν φέρει τὸ ὄνομα τοῦ Διὸς, „τΖιάς“, ἢ „Ζὰς“ ὑπὸ τῶν ἐγχωρίων καλούμενον, σώζεται, ἐγκεκολαμμένη ἐν μεγάλῳ μαρμαρίνῳ πάγῳ, ἡ ἀρχαιοτάτη ἐπιγραφὴ

σημαίνουσα δήπου τὸ ὅριον ἱεροῦ χωρίου, καθιερωμένου τὸ πάλαι τῷ προστάτῃ τῶν ποιμνίων Διΐ. Ἡ ἀπὸ τῆς κορυφῆς τοῦ ὄρους ἐκείνου θέα ἐστὶ τῶν μάλιστα μεγαλοπρεπῶν καὶ, ἀληθῶς, ἀξιοθεάτων· περὶ τὰς εἴκοσι καὶ πέντε νήσους, σμικρὰς καὶ μεγάλας, διεσπαρμένας εἰς ἀπέραντον ὀπτικὸν πεδίον, θεᾶται τεθαμβημένος ὁ ἐν τῇ ἀκρωρείᾳ ἐκείνῃ ἑστὼς θεατής. Ἔπιθι τὸ ἐν τῇ ἐπιούσῃ σημειώσει παρατεθειμένον χωρίον τῆς Τουρνεφορτίου Περιηγήσεως, ἐν ᾧ καταλέγονται πᾶσαι αἱ ἀπὸ τῆς περὶ ἧς ἡ σημείωσις θέσεως ὁραταὶ νῆσοι καὶ νησίδες, προςδιοριζομένης καὶ τῆς γεωγραφικῆς αὐτῶν θέσεως.

(ιγ.′) Ὁ Τουρνεφόρτιος (ἐν σελίδι 86 τοῦ α.′ τόμου τῆς εἰς Ἀνατολὴν περιηγήσεως αὐτοῦ) λέγει περὶ τῆς ἀκρωρείας, εἰς ἣν ἀναφέρονται τὰ περὶ ὧν ἡ σημείωσις αὕτη ἔπη, τὰ ἑξῆς· „La hauteur de la montagne de Zia nous invita d'y faire une „station géographique. Après avoir orienté notre quadran uni- „versel, nous observâmes que *Stenosa* reste à l'est-nord-est, *Aca-* „*ries* [γράφε „Macares“· κοιν. Μάκαρες], écueil entre *Naxie* et „*Stenosa*, est dans la même ligne; mais beaucoup plus près de „*Naxie*: *Amorgos* est à l'est-sud-est, de même que *Cheiro* et „*Copries*: *Nicouria* est entre l'est et l'est-sud-est: *Stambalia* au „sud-est: *Skinosa* entre le sud-sud-est et le sud: *Raclia* entre „le sud et le sud-ouest: *Nio* entre le sud-sud-ouest et le sud- „ouest: *Sikino* au sud-ouest: *Polycandro* entre le sud-ouest et „l'ouest-sud-ouest: *Santorin* entre le sud et le sud-sud-ouest: „*Nicaria* entre le nord-est et le nord-nord-est: *Samos* entre le „nord-est et l'est-nord-est: *Patmos* au nord-est: le *Tine* entre „le nord-ouest et le nord-nord-ouest: *Mycone* entre le nord-nord- „ouest et le nord: les deux isles de *Delos* de même que *Tine*: „*Andros* entre l'ouest-nord-ouest et le nord-ouest: *Syra* au nord-

„ouest: *Thermie* à l'ouest-nord-ouest: *Paros* à l'ouest: *Nanfio* „au sud-sud-est."

(ιδ.') Χάριν ἀκωλύτου διαδόσεως τοῦ ποιήματος ἐν τῇ πρώτῃ αὐτοῦ ταύτῃ ἐκδόσει ἐκρίθη ἀναβλητέα εἰς τὴν ἐφεξῆς, ἣν θεὸς διδῷ, γενησομένην δευτέραν ἡ συμπαράληψις τῶν στιγμαῖς ὑποσημαινομένων ἐπῶν.

(ιε.') Ὁ Ἡρόδοτος, ἀφηγούμενος (ἐν τῇ ἕκτῃ τῶν ἱστοριῶν αὐτοῦ) τὰ περὶ τῆς ὑπὸ Μιλτιάδου πολιορκίας τῶν Παρίων, εἰς ἣν ἀναφέρονται τὰ περὶ ὧν ἡ σημείωσις ἔπη, ἱστορεῖ (ἐν κεφ. ρλδ.') ὡς ἑξῆς, ἑπόμενος, ὡς λέγει, τοῖς ὑπὸ τῶν Παρίων αὐτῶν περὶ τούτου λεγομένοις, τὰ περὶ τῆς προδοσίας τῆς Τιμοῦς καὶ τῆς τρώσεως τοῦ Μιλτιάδου· „Μιλτιάδῃ, ἀπορέοντι, ἐλθεῖν ἐς „λόγους αἰχμάλωτον γυναῖκα, ἐοῦσαν μὲν Παρίην γένος, οὔνομα „δέ οἱ εἶναι Τιμοῦν· εἶναι δὲ ὑποζάκορον τῶν χθονίων θεῶν. „Ταύτην ἐλθοῦσαν ἐς ὄψιν Μιλτιάδεω, συμβουλεῦσαί οἱ, εἰ περὶ „πολλοῦ ποιέεται Πάρον ἑλεῖν, τὰ ἂν αὐτὴ ὑποθῆται, ταῦτα „ποιέειν. Μετὰ δέ, τὴν μὲν ὑποθέσθαι· τὸν δὲ ἀπικόμενον ἐπὶ „τὸν κολωνὸν τὸν πρὸ τῆς πόλιος ἐόντα, τὸ ἕρκος θεσμοφόρου „Δήμητρος ὑπερθορέειν, οὐ δυνάμενον τὰς θύρας ἀνοῖξαι· ὑπερ„θορόντα δέ, ἰέναι ἐπὶ τὸ μέγαρον, ὅτιδὴ ποιήσοντα ἐντός, „εἴτε κινήσοντά τι τῶν ἀκινήτων, εἴτε ὁτιδήποτε πρήξοντα· „πρὸς τῇσι θύρῃσί τε γενέσθαι, καὶ πρόκα τε φρίκης αὐτὸν „ὑπελθούσης, ὀπίσω τὴν αὐτὴν ὁδὸν ἵεσθαι· καταθρώσκοντα „δὲ τὴν αἱμασιήν, τὸν μηρὸν σπασθῆναι· οἱ δὲ αὐτὸν τὸ γόνυ „προςπταῖσαι λέγουσι."

(ις.') Τὰ περὶ τῆς πολιορκίας τῶν Μηλίων ὑπὸ τῶν Ἀθηναίων ἱστορεῖ ἐκτενῶς ὁ Θουκυδίδης ἐν τῷ πέμπτῳ τῆς ἱστορίας αὐτοῦ, λέγων περὶ τῆς ἀπηνείας, ἐν ᾗ προςηνέχθησαν, ἡττηθεῖσι, τοῖς Μηλίοις οἱ νικηταὶ Ἀθηναῖοι (καὶ εἰς ἣν ἀναφέρονται τὰ περὶ ὧν ἡ σημείωσις ἔπη) τὰ ἑξῆς· „Καὶ ἐλθούσης στρα-

„τιᾶς ὕστερον ἐκ τῶν Ἀϑηνῶν ἄλλης, ὡς ταῦτα ἐγίγνετο, ἧς „ἦρχε Φιλοκράτης ὁ Δημέου, καὶ κατὰ κράτος ἤδη πολιορκού-„μενοι, γενομένης καὶ προδοσίας τινὸς, ἀφ' ἑαυτῶν ξυνεχώρησαν „τοῖς Ἀϑηναίοις, ὥστ' ἐκείνους περὶ αὐτῶν βουλεῦσαι· οἱ δὲ „ἀπέκτειναν Μηλίων ὅσους ἡβῶντας ἔλαβον, παῖδας δὲ „καὶ γυναῖκας ἠνδραπόδισαν· τὸ δὲ χωρίον αὐτοὶ ᾤκησαν, ἀποί-„κους ὕστερον πεντακοσίους πέμψαντες."

(ιζ.') Περὶ τῆς ὑποϑέσεως, ᾗ ὑπόκειται τοῖς ἔπεσιν, εἰς ἃ ἀναφέρεται ἡ σημείωσις αὕτη, φησὶ Στράβων τὰ ἑξῆς· „Μύ-„κονος δ' ἐστὶν, ὑφ' ᾗ μυϑεύουσι κεῖσϑαι τῶν Γιγάντων τοὺς „ὑστάτους, ὑφ' Ἡρακλέους καταλυϑέντας·"

(ιη.') Ὡς ἐπὶ τῆς δευτέρας Γαλλικῆς αὐτοκρατορίας ἡ πρὸς τῇ μεσημβρινῇ Ἀμερικῇ νῆσος Cayenne ἦν τόπος ἐξορίας τῶν διὰ πολιτικὰς αἰτίας ἐκ Γαλλίας φυγαδευομένων, οὕτως ἐπὶ Ῥωμαίων ἐξωρίζοντο εἰς Γύαρον οἱ εἰς δημηλασίαν καταδικαζό-μενοι. Ἐπὶ τοῦ αὐτοκράτορος Τιβερίου προὐτάϑη τῇ Ῥωμαϊκῇ γερουσίᾳ, ὥς φησι Τάκιτος, καταγνῶναι δύο Ῥωμαίων πολιτῶν, τοῦ Σιλανοῦ καὶ τοῦ Οὐιβίου, ἐξορίαν εἰς Γύαρον· ἀλλ' ὁ αὐτο-κράτωρ οὐκ ἐνέκρινε τὴν ποινὴν ταύτην ὡς ἀπάνϑρωπον, οἷα δὴ τῆς Γυάρου οὔσης παντάπασιν ἐπιδεοῦς τῶν πρὸς τὸν βίον χρειω-δῶν. Διὰ τοῦτο δὲ καὶ δοξάζουσί τινες ὅτι ἡ Γύαρος οὐκ ἐγέ-νετο οὐδέποτε τόπος ἐξορίας, ἀλλ' ὡς ἀπειλὴν μόνον εἴϑιστο λέ-γεσϑαι παρὰ Ῥωμαίοις τὴν εἰς τὸ ἔρημον ἐκεῖνο νησίδιον ἀπέλα-σιν, ὡς ἐν τοῖς ἑξῆς τοῦ Ἰουβενάλιος ἔπεσιν·

„Aude aliquid brevibus Gyaris et carcere dignum,
„Si vis esse aliquis."

Ὁποτέρως δ' ἂν ἔχῃ τὸ πρᾶγμα, ἔδοξεν ἡμῖν οὐκ ἀνοικείως πε-ποιημένα τὰ ἔπη, περὶ ὧν ἡ σημείωσις.

(ιϑ.') Περὶ τοῦ ἐν Σάμῳ Ἡραίου καὶ τῶν δύο ἄλλων ἀξιο-ϑεάτων ἐν τῇ νήσῳ ἐκείνῃ ἔργων, εἰς ἃ ἀναφέρονται τὰ περὶ

ὧν ἡμῖν ἡ σημείωσις ἔπη, ἱστορεῖ ὁ Ἡρόδοτος τάδε· „Ἐμήκυνα „δὲ περὶ Σαμίων μᾶλλον, ὅτι σφι τρία ἐστὶ μέγιστα ἁπάντων „Ἑλλήνων ἐξειργασμένα, οὔρεός τε ὑψηλοῦ ἐς πεντήκοντα καὶ „ἑκατὸν ὀργυιὰς, τούτου τὸ ὄρυγμα, κάτωθεν ἀρξάμενον, ἀμφί-„στομον. Τὸ μὲν μῆκος τοῦ ὀρύγματος ἑπτὰ στάδιοί εἰσι· τὸ „δὲ ὕψος καὶ εὖρος ὀκτὼ ἑκάτερον πόδες. Διὰ παντὸς δὲ αὐτοῦ „ἄλλο ὄρυγμα, εἰκοσάπηχυ βάθος, ὀρώρυκται, τρίπουν δὲ τὸ „εὖρος, δι' οὗ τὸ ὕδωρ, ὀχετευόμενον διὰ σωλήνων, παραγίνεται „ἐς τὴν πόλιν, ἀγόμενον ἀπὸ μεγάλης πηγῆς. Ἀρχιτέκτων δὲ „τοῦ ὀρύγματος τούτου ἐγένετο Μεγαρεὺς Εὐπαλῖνος Ναυστρόφου. „Τοῦτο μὲν δὴ ἓν τῶν τριῶν ἐστί. Δεύτερον δὲ περὶ λιμένα „χῶμα ἐν θαλάσσῃ, βάθος κατὰ εἴκοσι ὀργυιέων· μῆκος δὲ τοῦ „χώματος μέζον δύο σταδίων. Τρίτον δέ σφι ἐξέργασται νηὸς „μέγιστος πάντων νηῶν τῶν ἡμεῖς ἴδμεν· τοῦ ἀρχιτέκτων ἐγένετο „Ῥοῖκος Φίλεω ἐπιχώριος.“ (Γ.', ξ.')

(κ.') „Ὃ βλέπεις γράψον εἰς βιβλίον καὶ πέμψον ταῖς „Ἐκκλησίαις ταῖς ἐν Ἀσίᾳ, εἰς Ἔφεσον, καὶ εἰς Σμύρναν, καὶ „εἰς Πέργαμον, καὶ εἰς Θυάτειρα, καὶ εἰς Σάρδεις, καὶ εἰς „Φιλαδέλφειαν, καὶ εἰς Λαοδίκειαν.“ (Ἀποκαλύψ. Α.', ια.')

(κα.') Οὐκ ἀγνοοῦντες, ὅτι ὁ ἀδάμας, διὰ τὴν ὑπερβάλλουσαν σκληρότητα, οὐκ ἔστι δεκτικὸς γλυφῆς, οὐκ ἐθεωρήσαμεν ἡμᾶς ἠναγκασμένους ὑπὸ τῆς τεχνικῆς ταύτης· δυσχερείας (ἣν ἡ φαντασία ὑπερνικᾷ εὐχερέστατα) ἀποσχεῖν τῆς ἐν τῷ ἔπει παρομοιώσεως.

(κβ.') Ἐν Πάρῳ, κατὰ πᾶσαν πιθανότητα, ἀνευρέθη, τῷ ιζ.' αἰῶνι, ἡ σπουδαιοτάτη χρονολογικὴ ἐν μαρμάρῳ ἐπιγραφὴ, ἡ ὀνομαζομένη, ἀπὸ μὲν τοῦ πιθανοῦ τῆς εὑρέσεως αὐτῆς τόπου (κατ' ἄλλους ἀνεκαλύφθη ἐν Σμύρνῃ, κατ' ἄλλους δὲ ἐν Κέᾳ), Πάρια μάρμαρα“ („*Marmora Paria*“), ἀπὸ δὲ τοῦ ὠνησαμένου αὐτὴν, τῷ 1627, Εὐγενοῦς Ἄγγλου, Θωμᾶ Ἀρουνδελίου,

„Ἀρουνδέλεια μ.“, ἀπὸ δὲ τῆς πόλεως, ἐν ᾗς τῷ πανεπιστημίῳ ἐστὶ νῦν τεθησαυρισμένη (δωρηθεῖσα αὐτῷ, τῷ 1667, ὑπὸ τοῦ ἐγγόνου τοῦ Θ. Ἀρουνδελίου, Ἐῤῥίκου Ὀββάρδου), „Ὀξόνεια μ.“. Οἱ ἐν τῇ ἐπιγραφῇ ταύτῃ χρονολογικοὶ προςδιορισμοί, οἵτινες ἀναφέρονται εἰς τοὺς κυριωτέρους τῶν ὅρων τῆς ἑλληνικῆς ἱστορίας, ἰδιαίτερον τῆς τῶν Ἀθηνῶν, περιελάμβανον, ὅτε ἦν ἔτι ἀκέραιον τὸ ἐπιγραφικὸν ἐκεῖνο μνημεῖον, 1318 ἔτη, ἀρχόμενοι ἀπὸ τοῦ Κέκροπος (1582 π. Χ.) καὶ προϊόντες μέχρι τοῦ ἔτους 264 π. Χ.

(κγ.′) Ὅρα σημείωσιν ζ.′

(κδ.′) Ἐν Ὠλιάρῳ, ἣν οἱ καθ' ἡμᾶς Ἀντίπαρον ὀνομάζουσι, ὑπάρχει ἓν τῶν ἀξιωτέρων θέας καὶ θαυμασμοῦ σπηλαίων, ἐκπλῆττον, ἀληθῶς, τὸν τολμῶντα ὑποκαταβῆναι εἰς τὰ ὅσον μεγαλοπρεπῆ, τοσοῦτον καὶ κινδυνώδη αὐτοῦ βάθη τῇ ἐξαισίᾳ αὐτοῦ διακοσμήσει, ἣν ἡ Φύσις ἐτεχνούργησε δίκην εὐτεχνοτάτου στολιστοῦ ἀνακτόρων, ἐπὶ μακροὺς αἰῶνας καὶ ἀδιαπαύστως ἐργαζομένη. Ἔστι δὲ ὁ μεγαλοπρεπὴς κόσμος τοῦ σπηλαίου παντοειδῆ λίθινα μορφώματα ἐκ λευκῆς καὶ διαφανοῦς ἀνθρακικῆς τιτάνου, ὑπολειπομένης, μετὰ τὴν ἐξάτμισιν τοῦ ὑγροῦ, ἀφ' ἑκάστου σταλαγμοῦ ὕδατος (δι' ὃ καὶ ἐκλήθησαν τὰ τοιαῦτα λιθώματα *stalactites*), ἐν ᾧ διαλέλυται τὸ τιτανικὸν ἅλας. Τὰ αὐτοφυῆ ἐκεῖνα μορφώματα ποῦ μὲν παραπετάννυνται ἀπὸ τῶν θόλων τοῦ ἄντρου ἐν εἴδει παντοίως ἐπτυγμένων αὐλαιῶν, ποῦ δὲ διακλῶνται παρεμφερῶς τοῖς εἰκάσμασι τῶν κεραυνῶν τοῦ καταιβάτου Διός, ἀλλαχοῦ ἀπήρτηνται ὥςπερ κορυμβοειδῆ καὶ ἔγκαρπα στεφανώματα, ἢ ἐξήκουσιν εἰς μῆκος προςομοίως μακραῖς λόγχαις, ἢ ἐπανεστήκασι κιονοειδῶς, ἢ ἐγείρονται εἰς πυργίσκους, τοὺς πλείστους διακένους, φέροντας καθέτους ῥαβδώσεις· ἓν δὲ σύστημα τῶν σταλαγμιτῶν ἐκείνων ἐστὶ τοσοῦτον ἐμφερὲς ἐν πᾶσι κατὰ τὸ σχῆμα ταῖς βοτρύτισι κράμβαις (Brassica botrytis), ὥστε ὁ

Τουρνεφόρτιος, αὐτόπτης γενόμενος τοῦ θαυμασίου ἐκείνου ἄντρου καὶ περιγράψας αὐτὸ (*Voyage du Levant*, Lettre V, σελ. 71—74), λέγει περὶ αὐτῶν (ἡμαρτημένως δοξάζων περὶ τοῦ τρόπου τῆς τῶν σταλαγμιτῶν παραγωγῆς)· „il semble que la „nature nous ai voulu montrer par là comment elle se prend „pour la *végétation* des pierres.“ Ἐν τοῖς ἐνδοτάτοις μυχοῖς τοῦ σπηλαίου ἐγήγερται ὁ θαυμαστότερος πάντων τῶν σταλαγμιτῶν ἐκείνων, ὅςτις, ἐξ ὅτου ἐπ' αὐτοῦ ἐτελέσθη ἡ λειτουργία, περὶ ἧς ἐν τοῖς ἑξῆς ὁ λόγος, φέρει τὸ ὄνομα „ἡ ἁγία τράπεζα.“ Τὸ περιεργότατον ἐκεῖνο τεχνούργημα τῆς Φύσεως, τὸ κάλλιστον πάντων τῶν ἐν τῇ ὑφηλίῳ σταλαγμικῶν μορφωμάτων, ἐστὶ μεμονωμένον, προςέοικε δὲ τιάρᾳ συνεστηκυίᾳ ἐξ ἐπαλλήλων ἐπικράνων, φερόντων καθέτους ῥαβδώσεις καὶ περικοσμουμένῃ δαψιλῶς ὡραίοις κορυμβωτοῖς ὡραΐσμασι, φαινομένοις τοσοῦτον τεχνηέντως ἐξειργασμένοις, ὡσανεὶ ἦσαν ἔργον τοῦ ἐπιτηδειοτάτου τῶν κοσμηματογλύφων. Φέρει δὲ τὸ ἀξιοθαύμαστον ἐκεῖνο καὶ ἐνιαῖον φυσικὸν κειμήλιον ἐν τῇ βάσει αὐτοῦ τὴν ἑξῆς ἐπιγραφήν·

HIC IPSE CHRISTUS ADFUIT
EJUS NATALI DIE MEDIA NOCTE
CELEBRATO M DC LXXIII.

Τῷ περιιόντι τὴν „ἁγίαν τράπεζαν“ ὑπεραιωροῦνται ὑπερμεγέθεις σταλαγμῖται, σχηματίζοντες ἐν τέλει ἡμισφαιριοειδῆ θόλον, ὑφ' ὃν ἄγει σμικρὰ πυλὶς, ἔνθεν δὲ καὶ ἔνθεν ἀπήρτηνται περικαλλῆ ἀλαβάστρινα παραπετάσματα, θαμβοῦντα τὸν θεατὴν τῇ λευκότητι αὐτῶν. Ἀπὸ τῆς μεσότητος δὲ τοῦ θόλου, τῆς ὑπερκειμένης τῷ φυσικῷ ἐκείνῳ καλλιτεχνήματι, ἀπαιωροῦνται ἄλλοι παμμεγέθεις σταλαγμῖται ἐν εἴδει ἐγκάρπων στεφανωμάτων, οἱονεὶ σχηματίζοντα τὸν ὀροφιαῖον κόσμον τοῦ θεοπήκτου θυσιαστηρίου. Ἐν τῷ σπηλαίῳ ἐκείνῳ καὶ ἐπὶ ἁγίας τραπέζης τοῦ ἄρτι περιγραφέντος τιαροειδοῦς σταλαγμίτου (ᾧ ἐπετέθη κατάλ-

ληλος ἄβαξ) ἐτελέσθη τῷ 1673 (χορηγοῦντος καὶ προεξάρχοντος τοῦ τότε παρὰ τῇ τουρκικῇ κυβερνήσει πρέσβεως τῆς Γαλλίας Μαρκησίου *de Nointel*) λειτουργία ὑπὸ καθολικῶν ἱερέων τὸ μεσονύκτιον τῆς πρὸ τῆς ἑορτῆς τῆς Χριστοῦ γεννήσεως νυκτὸς, πεφωτισμένου λαμπρῶς τοῦ σπηλαίου ἑκατὸν, ὡς ἱστορεῖται, κηρίναις λαμπάσι καὶ τετρακοσίοις φανοῖς.

(κε.') Ὅρα σημείωσιν ιβ.'

(κς.') Ὡς γνωστὸν ὁ Ἄγγλος ἀρχαιολόγος *Wood*, ποιησάμενος οὐ πρὸ πολλοῦ, ἁδραῖς δαπάναις τῆς Ἀγγλικῆς Κυβερνήσεως, ἀνασκαφὰς ἐν τῷ ἐν Ἐφέσῳ ναῷ τῆς Ἀρτέμιδος, εὗρε καὶ ἀπεκόμισεν εἰς Ἀγγλίαν πολλὰ ἀρχαιολογικὰ ἀντικείμενα, ἀνήκοντα τῷ θαυμασίῳ ἐκείνῳ οἰκοδομήματι.

(κζ.') „ΑΠΟΛΛΩΝΟΣ θυμίαμα μάνναν". Ὀρφ. ὕμν. εἰς Ἀπόλλωνα.

(κη.') Ἐν Δήλῳ ἀνέκειτο τῷ Ἀπόλλωνι, ἀνατεθὲν ὑπὸ τῶν Ναξίων, μέγα μαρμάρινον ἄγαλμα τοῦ θεοῦ. Λέγει δὲ περὶ αὐτοῦ ὁ Πλούταρχος, ἐν τῷ βίῳ Νικίου, τὰ ἑξῆς· „[Νικίας].. „τόν τε φοίνικα τὸν χαλκοῦν ἔστησεν, ἀνάθημα τῷ θεῷ.. Ὁ δὲ „φοίνιξ ἐκεῖνος, ὑπὸ τῶν πνευμάτων ἀποκλασθεὶς, ἐνέπεσε τῷ „Ναξίων ἀνδριάντι τῷ μεγάλῳ καὶ ἀνέτρεψε." Τοῦ ἀγάλματος ἐκείνου ἐσώζοντο τῷ 1699, ὅτε περιηγήσατο τὴν Δῆλον ὁ Τουρνεφόρτιος, οἰκτρά τινα μόνον λείψανα, ὧν ὁ ῥηθεὶς περιηγητὴς ποιεῖται ἐν τῇ περιηγήσει αὐτοῦ (*Voyage du Levant*, Lettre VII) τὴν ἑξῆς περιγραφήν· „Les restes de la statuë „d'Apollon sont presqu' à l'entrée de ces ruines et consistent en „deux pièces; le dos est d'un côté, le ventre et les cuisses de „l'autre: on ne lui a laissé ni tête, ni bras, ni jambes: c'étoit „une statuë colossale d'un seul bloc de marbre, et dont les che- „veux tomboient sur son dos par grosses boucles; ce dos a six „pieds de large, mais l'on n'y voit plus de marques d'aucun orne-

„ment, et les plus vieux habitants de Mycone ne se souviennent „pas d'avoir vû cette figure entière; le tronc en est tout nud, „et il a dix pieds de la hanche au genoux .... Parmis tant de „pièces, vers le bas de ces débris est un quartier de marbre „bien équarri, qui sans doute a servi de plinthe à la statuë „d'Apollon: ce marbre qui a 15 pieds et demi de long, dix pieds „neuf pouces de large, et deux pieds trois pouces d'épaisseur, „est percé au milieu comme si l'on avoit voulu le vider pour le „rendre plus léger: on lit en parfaitement beaux caractères sur „son épaisseur qui est tournée du côté de la mer

ΝΑΞΙΟΙ ΑΠΟΛΛΩΝΙ

„Plutarque rapporte dans la vie de Nicias, que cet illustre Athé-„nien fit dresser auprès du temple de Delos un grand palmier „de bronze qu'il consacra à Apollon, et que les vents renver-„sèrent ensuite cet arbre sur une statuë colossale élevée par les „habitants de Naxos; il est hors de doute que c'étoit la statuë „d'Apollon dont on vient de parler; pour l'inscription il est „certain qu'elle est de ce temps-là et qu'elle marque que la „pierre sur laquelle on la lit, servoit de plinthe à la statuë."
'Εν τῇ φερούσῃ τὴν ἀνωτέρω παρατεθεῖσαν ἐπιγραφὴν βάσει εἶδεν ὁ Τουρνεφόρτιος καὶ ἑτέραν ἑλληνικὴν ἐπιγραφὴν, ἧς τὸν νοῦν (οἷα δὴ γεγραμμένης γράμμασιν ἀρχαϊκωτέροις) οὐδεὶς τῶν ἐπ' αὐτοῦ πειρασαμένων ἀναγνῶναι αὐτὴν ἠδυνήθη συμβαλέσθαι. Κατὰ τὴν ὑπὸ *Böckh* (Corp. inscr. gr. Τόμ. Α.', ἀριθ. 10) γενομένην, ὀρθῶς, ὡς δοκεῖ, ἀνάγνωσιν τῆς ἐπιγραφῆς ταύτης,

„Τὸ αὐτὸ λίθο ἐμὶ ἀνδριὰς καὶ τὸ σφέλας",

ἡ διάνοια ἦν, ὅτι τὸ ἔργον ἐκεῖνο ἦν μονόλιθον, τοῦ τε ἀγάλματος καὶ τῆς βάσεως αὐτοῦ ὄντων εἰργασμένων ἐν τῷ αὐτῷ τμήματι τοῦ λίθου.

(κθ.') „Ἀπιστεόντων δὲ τουτέων, ἧκε τριήρης ἀνδρῶν Τη-„νίων αὐτομολέουσα, τῆς ἦρχε ἀνὴρ Παναίτιος, ἥπερ δὴ ἔφερε „τὴν ἀληθηΐην πᾶσαν. Διὰ δὲ τοῦτο τὸ ἔργον ἐνεγράφησαν Τή-„νιοι ἐν Δελφοῖσι ἐς τὸν τρίποδα ἐν τοῖσι τὸν βάρβαρον κατελοῦσι."

(Ἡρόδοτος, Η.', πβ.').

(λ.') Ὁ πάπας Μαρτῖνος ὁ α.', ὁ συγκαλέσας τὴν πρώτην ἐν Λατερανῷ σύνοδον, τὴν ἀναθεματίσασαν τοὺς μονοθελήτας, ἐν οἷς καὶ τὸν αὐτοκράτορα Ἡράκλειον, ἀπαγόμενος εἰς Κωνσταντινούπολιν ἵνα τίσῃ δίκην τῆς τόλμης, προςωρμίσθη κατὰ τὸν πολυπλανῆ αὐτοῦ καὶ ἐπὶ πολλοὺς μῆνας διαρκέσαντα πλοῦν καὶ εἰς Νάξον, ἔνθα διέτριψεν ἐπὶ ἓν ἔτος. Κατὰ τὴν ἐν τῇ νήσῳ ἐκείνῃ ἐπιτόπιον παράδοσιν, ὁ Μαρτῖνος ἀπέβη εἰς τὸ βορειοανατολικὸν τῆς νήσου ἀκρωτήριον, ὅπερ ἔκτοτε φέρει τὸ ὄνομα „Πάπας", ἐλειτούργησε δὲ ἐν τῷ παρὰ τῇ πόλει τῆς νήσου σμικρῷ ναϊδίῳ τοῦ Ἁγίου Μηνᾶ. Ἀχθεὶς εἰς Κωνσταντινούπολιν, κατεδικάσθη εἰς θάνατον· ἀλλὰ, ἱκεσίᾳ τοῦ πατριάρχου Παύλου, ὁ αὐτοκράτωρ μετέβαλεν εἰς ἐξορίαν τὴν θανατικὴν ποινὴν τοῦ Μαρτίνου, ἐξορισθέντος εἰς τὴν ταυρικὴν χερσόνησον, ἔνθα καὶ ἐτελεύτησε τῷ 655ῳ ἔτει. Ἡ ἐκ τύχης προςόρμισις τοῦ Μαρτίνου εἰς Νάξον ἔδω ἡμῖν τὸ ἐνδόσιμον πρὸς τὰ περὶ ὧν ἡ σημείωσις αὕτη ἔπη.

(λα.') Ἐν Ἴῳ.

(λβ.') Ὁμολογητέον ὅτι τὴν Μῆλον, Κρήτην καὶ Χίον οὐκ εἴδομεν τοῖς σωματικοῖς ὀφθαλμοῖς ἀπὸ τῆς ἀκρωρείας ἐκείνης, ὅθεν οὐδαμῶς ἐστὶν ὁρατὴ οὐδεμία τῶν νήσων ἐκείνων.

(λγ.') Ὁ ταὼς ἦν τὸ ἱερὸν τῆς Ἥρας πτηνόν.

(λδ.') Γινώσκοντες, ὅτι ἡ τοῦ τηλεσκοπίου ἐφεύρεσις, γενομένη περὶ τὰ τέλη τῆς ις.' (ἢ, κατ' ἄλλους, περὶ τὰς ἀρχὰς τῆς ιζ.') ἑκατονταετηρίδος, ἐστὶ προγενεστέρα τοῦ Κοπερνίκου, γεννηθέντος τῷ ἔτει 1473, προεθέμεθα εἰπεῖν ἐν τοῖς περὶ ὧν ἡ ση-

μείωσις ἔπεσιν, ὅτι εἰ ὁ Ἀρίσταρχος ἐγίνωσκε τὸ ἀστρονομικὸν ὄργανον, περὶ οὗ ὁ λόγος, οὐκ ἂν κατέλιπε τοῖς μετ' αὐτὸν ἐνδόξοις τῶν ἀστρονόμων πολλὰς τῶν ἀστρονομικῶν ἀνακαλύψεων, ἐφ' αἷς ἐπηύραντο μέγα κλέος.

(λε.') Ἐν Πάτμῳ.

Druck von F. A. Brockhaus in Leipzig.